

Meletius (Monachus) de Natura et Structura Hominis, cum Scholiis aliquot in Margine. Sæc XVI

This work was published in Latin 1552 but the chapter on the Soul, which is curious was not inserted. The Greek has never been edited

Published by Cramer (Anecd. Oxon).

The stupid Bookseller Bohn who bought this, rubbed off all the old numbers of the Clermont & Meerman Catalogues

C

Μελετίου μοναχίου
περὶ φύσεως καὶ τοῦ ἀνθρώπου
κατασκευῆς

Meletij Monachij de natura et
~~[illegible]~~ hominis structura

Σεβεὶ τάδε
μη



Μελετίου μοναχοῦ περὶ φύσεως, καὶ τῆς
τοῦ ἀνθρώπου κατασκευῆς.

Meletÿ monachi de natura hominis
eiusque compositione.





μελετίου μοναχοῦ περὶ φύσεως, καὶ τῆς τοῦ ἀνθρώπου
κατασκευῆς: +

Τὸ περὶ φύσεως ἀνθρώπου φυσιολογῆσαι, ἀλλὰ σπουδῆς μεγ-
καὶ ἀνελλιπῆ πραγματείαν κἂν δεῖσθαι τοῖς φιλομα-
θέσι, καὶ φιλοπόνοις βουλομένοις. Εἰ γὰρ καὶ πολλοὶ
τῶν ἀρχαίων σοφῶν πολλοῖς κατὰ σποράδην, ἢ συντό-
μως περὶ τῆς φύσεως ἡμῶν λόγοις συνέθεντο, ἀλλ' οὐ-
δεὶς ἀνελλιπῆ, καὶ ἀνυπέρθετον ταύτην ἀπήρτισεν. ὁ
μὲν γὰρ ἱπποκράτης περὶ φύσεως παιδίου, καὶ ἀνδρὸς
γράψας, ὀλίγα τινά, καὶ δυσδιάγνωστα οὐδὲν περὶ
τοῦ καθόλου ἀνθρώπου ἐμνημόνευσεν, ἢ τῶν ἐν αὐτῷ
δυνάμεων, ἢ ἐνεργειῶν, ἢ τῶν τοῦ σώματος μορίων.
ὁ δὲ γαληνὸς περὶ φύσεως μορίων ἐμνήσθη, καὶ περὶ
κράσεων, ἀλλ' οὐδὲ μίαν τῶν πραγματειῶν αὐτοῦ φαί-
νεται τοιαύτην ὁλοκλήρως ὑπόθεσιν ἀναγράψας. σω-
κράτης δὲ ἐτυμολογίας μᾶλλον μορίων, καὶ ὀνομάτων
ἐν τῷ περὶ φύσεως ἀνθρώπου συντάγματι αὐτοῦ ὡς πραγ-
ματικός, ἢ φιλόσοφος συνετάξατο. οἱ δὲ ἄλλοι, καὶ
τῆς ἐκκλησίας διδάσκαλοι. οἷον ὁ μέγας, ἐν πατράσι βα-
σίλειος. ὁ νύσσης γρηγόριος. ὁ θεῖος χρυσόστομος. ὁ μα-

Paraphé au desir de l'arrest du 5 juillet 1763. Mesnil

καὶ ἅγιος Κύριλλος, καὶ ἄλλοι πολλοὶ τῶν κατ' αὐτοὺς ἐν τοῖς
διδασκαλικοῖς αὐτῶν λόγοις σὺν τῷ θεολογικῷ κα-
λῶς φυσιολογήσαντες, πολλὰ περὶ τῶν τοῦ σώματος
τε μορίων, ἤτοι τῶν ψυχικῶν, καὶ ζωτικῶν, ἤτοι φυσικῶν
δυνάμεων, καὶ ἀνθρωπίνων συνεφιλοσόφησαν. οὐδεὶς
μέντοι γε τῶν προειρημένων ἀνδρῶν, τὴν τῶν ἁγίων τούτων
συναγωγὴν φαίνεται τὴν ὅλην ὑπόθεσιν τοῦ μετὰ πραγμα-
τείαν ὑποτελέσαι. ταῦτ' οὖν διεσπαρμένα ἐν ταῖς τῶν
βιβλίοις ἐγκείμενα αὐτὸς ἐκλαβών, τὸ παρ' ἐμὲ ὡς ἐνὸν
συνεστησάμην σύγγραμμα. τοῖς μὲν ὡς ἄκος ἔχειν
αὐτοῦ βουλομένοις ὑπόμνημα τῆς φύσεως, καὶ τῆς
συστάσεως τοῦ σώματος παντελὲς ἐσόμενον. ἐμοὶ δὲ γυ-
μνάσιον, καὶ τῆς ἀμαθίας προσφύγιον. διὸ οὖν τὸν
ἀπεριέργως ἀναγινώσκοντα μετὰ ἀγάπης, ἢ φθόνου
δίχα ἢ χαλινῷ φειδοῦς τὴν ποιάν, ἢ μικρὰ ἀναλέξας
πρὸς τὸ κακίζειν τὸν συγγραψάμενον. οὐδὲ γὰρ πᾶσιν
ὡς οἶμαι ἀλυσιτελῆ φανεῖται τὰ ἐνταῦθα συνταχθέντα, ἀλλὰ
καὶ πολλοῖς, τὰ πολλὰ δεόμενα τῆς ἐξετάσεως, καὶ
μάλιστα τοῖς ἀπείρως πρὸς φιλοσοφίαν ἔχουσι, ἢ
δεῖ καὶ ἰατρικὴν ἐπιστήμην. ἐπεὶ οὖν ἡ πᾶσα πραγ-
ματεία καὶ τοῦ ἐξιό :—+

ύνοψις περὶ φύσεως, καὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς:
πόνημα ἐν συνόψει περὶ φύσεως ἀνθρώπου, ἐξερανισθὲν
καὶ συντεθὲν παρὰ Μελετίου μοναχοῦ εἰς τῶν
τῆς ἐκκλησίας ἐνδόξων, καὶ τῶν ἔξω λογάδων
καὶ φιλοσόφων: —

σινόθεν ἡ πᾶσα πραγματεία, ἐξ αὐτῶν χυμῶν ὅλη συ-
νηνωμένη, καὶ συνδεδεμένη, καὶ οἷον διηρθρωμένη.
Καὶ τὰ καθ' ἕκαστον τοῦ σώματος μόρια διασαφοῦνται.
καὶ τὴν φυσικὴν σύνθεσιν διερμηνεύουσαι. Καὶ τὰ τοῦ
κόσμου στοιχεῖα τὰ τοῦ σώματος ἀναρμόζουσα.
καὶ ποῖον τοῦ κόσμου τὰ τοῦ σώματος ἐξισάζεται.
καὶ τί τὰ ἁπλᾶ στοιχεῖα. καὶ πρῶτα. καὶ ποῖα τὰ ὁ-
μοιομερῆ, καὶ ποῖα τὰ ἀνομοιομερῆ μόρια. καὶ
πόσαι δυνάμεις περὶ τὸ ζῶον ἐνεργοῦσι. καὶ πόσαι
αἰσθήσεις. Καὶ τίνα τὰ μέρη τῆς ψυχῆς. καὶ τίνων
ὁ νοῦς αὐτοκράτωρ. Καὶ πόθεν ὁ λόγος γεννᾶται. καὶ
τίς ὁ προφορικός, καὶ τίς ὁ ἐνδιάθετος. καὶ τί ὄρεξις,
καὶ πόθεν γίνεται. Καὶ πῶς αἱ τροφαὶ κατεργάζονται,
καὶ πῶς πέπτονται, καὶ πῶς ἀναδίδονται. καὶ πόσ-

πέψεως· καὶ πόσαι περιπλοκαὶ γίνονται· καὶ πῶς τὸ
αἷμα γεννᾶται· καὶ πόθεν ὅλον τὸ σῶμα ἐπαρ-
δεύεται· καὶ πῶς ὕπνος γίνεται, καὶ διατί· καὶ πό-
θεν συνίσταται γέλως καὶ χαρά· καὶ λύπη, καὶ
δάκρυον: Ἐπὰν δὲ οὕτως ἡ ὑπόθεσις ἀναπλη-
ρωθῇ, καὶ οἷον σῶμα φανῇ ὡς πρὸς ἅπαν ἀνάληψιν ποι-
ούμενος ὁ λόγος, τὰ ὅλα πάλιν μόρια διηρημένως
ὑπεξέρχεται, ἐτυμολογῶν ἕκαστον· καὶ τὴν φυ-
σικὴν ἐνέργειαν, καὶ τὰς ὀνομασίας, καὶ τοὺς ὅ-
ρους ὑποδεικνύων ἀπὸ κεφαλῆς, ἕως ποδῶν, οὐ
ταυτολογῶν, ὡς ἂν οἰηθείης· ἀλλὰ τὰ ἐν ἐπιτομῇ
εἰρημένα, καὶ συνεσταλμένα, πλατύτερον ἀναδιδάσ-
κων, καὶ πρὸς τὸ σαφέστερον διευκρινῶν τοῖς ἀκρο-
ουσιν: +

διὰ ταύτης ὑποθέσεως διάγνωσιν εὐχρηστότερος ὁ πίναξ:—

Πίναξ τοῦ παρόντος βιβλίου:+

ὑγρῶν συνίσταται· καὶ διατί οἱ μὲν λευκοί, οἱ δὲ
μελανότεροι γίνονται :+

Περὶ τοῦ ὀπτικοῦ πνεύματος, καὶ περὶ τῆς αὐτοῦ
καὶ δυνάμεως :+

Περὶ ῥινός, καὶ τῶν διὰ αὐτῆς γινομένων ὀσφρήσεων,
καὶ πῶς συνίσταται ὀσφρήσεις, καὶ ποῦ περαίνεται :+

Περὶ τῶν μεγάλων κανθῶν, καὶ μικρῶν :+

Περὶ μαγούλων :— Περὶ τῆς ἄνω γένυος, ἢ τῆς κάτω :+

Περὶ τῶν ὤτων, καὶ τῆς τούτων οὐσίας καὶ τῆς ἀκου-
στικῆς αἰσθήσεως :+

Περὶ πώγωνος, καὶ τῶν γενείων :+

Περὶ τοῦ προσώπου, καὶ διατί οὕτως εἴρηται, καὶ
τί τὰ σημαινόμενα ἐξ αὐτοῦ :+

Περὶ τοῦ στόματος, καὶ τῶν ἔσωθεν τούτου, γλώσσης,
ὀδόντων, καὶ τῶν λοιπῶν τούτου πάντων :+

Περὶ ὀδόντων, καὶ πόσοι τῷ ἀριθμῷ :+

Περὶ φωνῆς, καὶ πῶς γίνεται :+

Περὶ ἀναπνοῆς, καὶ ἐξ οἵων μερῶν αὕτη πίμπλαται·
τοῦ θώρακος :+

Περὶ τοῦ θώρακος θέσεως :+

Περὶ τραχήλου, καὶ τῶν σπονδύλων τῆς ῥάχεως,

καὶ τοῦ νωτιαίου μυελοῦ :+

Περὶ πλευρῶν, καὶ πόσαι εἰσὶ τῷ ἀνθρώπῳ :+

Περὶ τοῦ ὑπεζωκότος, καὶ τοῦ διαφράγματος :+

Περὶ τοῦ πνεύμονος, καὶ τῆς καρδίας, καὶ τῶν ἐνεργειῶν αὐτῶν, καὶ πῶς ἐστι τῆς καρδίας διάθεσις, καὶ τί τὸ σχῆμα αὐτῆς :+

Περὶ στομάχου, καὶ τῶν ἐντέρων, καὶ τῆς τούτων ὀνομασίας, καὶ ἐνεργείας, καὶ ὅπως ὄρεξις γίνεται, ἢ πέψις :+

Περὶ τοῦ ἥπατος, καὶ τῆς οὐσίας αὐτοῦ, καὶ τῆς ἐνεργείας, καὶ δυνάμεως :+

Περὶ σπληνός, καὶ τοῦ σχήματος αὐτοῦ :+

Περὶ τῆς ἄνω γαστρὸς, καὶ τῆς κάτω :+

Περὶ τοῦ οἰσοφάγου, καὶ τῆς τραχείας ἀρτηρίας :+

Περὶ τοῦ ἐπιγαστρίου, καὶ ὑπογαστρίου, καὶ ἤτρου :+

Περὶ τοῦ πόρου τῆς ἕδρας :+

Περὶ τοῦ ἱεροῦ ὀστέου :+

Περὶ τοῦ πε[illegible]οῦ :+

Περὶ τῶν διδύμων, καὶ τῆς βαλάνου, καὶ τῶν ἐν αὐτοῖς στομάτων :+ Περὶ τῶν βουβώνων :+

Περὶ χειρῶν, καὶ τῶν ἐν αὐταῖς ὀστῶν, καὶ ὀνομασιῶν, καὶ ἐνεργειῶν :+

περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς :+

Τὰ περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς, καὶ ἐξ ὅσων φύσεων, καὶ τίς ἡ τῆς ψυχῆς οὐσία, καὶ πῶς ἐν σώματι περιέχεται, καὶ περὶ τῆς τοῦ σώματος μερικωτέρου γνώσεως, καὶ τῶν ἐξ ἀμφοῖν γινομένων ἐνεργειῶν, καὶ δυνάμεων, καὶ αἰσθήσεων, καὶ τῆς τοῦ σώματος ἰδικῶν διαπλάσεως, καὶ ἐξ ὅσων στοιχείων συνίσταται, καὶ ὅσα καταμερίζεται μόρια, πολλοὶ τῶν ἀρχαίων σοφῶν, καὶ ἰατρῶν διωρίσαντο, καὶ ἔγραψαν, ἐν σοφίᾳ, καὶ συνέσει, καὶ ἀναλόγως τῆς ἐπιστήμης ἐξ ἀρχῆς πληροφορούμενοι πάντες : αἱ τοίνυν μὲν περὶ τοῦ σώματος αὐτοῖς ὡρισθέν, πᾶσι τοῖς αὐτοῦ μαθηταῖς,

καὶ φιλοπόνοις ἄγνωστη, καὶ ἀνωμολόγηται, καὶ
ὡσαύτως ἔχει διαπεπέρανται: Ὅσα δὲ περὶ ψυ-
χῆς ἐφιλοσόφησαν Ἕλληνες, μάταια ἀπεδεί-
χθησαν. οὐδὲν γὰρ ἀληθὲς περὶ τῆς οὐσίας αὐτῆς
εἰδέναι ἠδυνήθη βεβαιώσασθαι, ἢ δεῖξαι ὁποία τῇ φύσει
ἐστί. ἀλλὰ γὰρ καὶ περιϊστᾶν αὐτοῦ σώματος
ταύτην. καὶ ἔμπαλιν, ταύτης τὸ σῶμα κινεῖσθαι ἐφλη-
νάφησαν. ὅθεν καὶ ἀσύμφωνα πάντες διαφωνή-
σαντες, ἐματαιώθησαν ἐν τοῖς ἑαυτῶν διαλογις-
μοῖς:+ Ὅτι μὲν γὰρ συμφαίνεται τῷ σώματι ἡ
ψυχή, καὶ ὅτι τιμιωτέρα τούτου ἐστί, καὶ κυριω-
τέρα, καὶ ὑπὸ ταύτης ὡς ὄργανον τοῦτο κινεῖται. ἡ
αὐτὴ δ' ἔτι ζωογονοῦσα καὶ συγκρατοῦσα αὐτὸ προ-
τί ἐστι ψυχή νοίᾳ θεοῦ, καὶ φύσεως ἀκολουθίᾳ. Καὶ ὅτι οὐσία
ἐστὶν ἀσώματος, λογική, νοερά, καὶ ἀθάνατος, πᾶ-
σι χριστιανοῖς φρονοῦσι γνωστόν: Τί δὲ ἐστὶ τῇ οὐσίᾳ, καὶ
πῶς ἐν τῷ σώματι τὸ ἀσώματον, μόνον τοῦτο εἰδέναι
θεοῦ, τοῦ τῶν ἁπάντων δημιουργοῦ. Ὅθεν καὶ ἡμεῖς τὸν
περὶ τῆς ψυχῆς ἴδιον λόγον καταλείψαντες, τὸν περὶ
τῆς τοῦ καθόλου φύσεως ἀνθρώπου παρὰ τῶν ἀρχαίων
πονηθέντα, καὶ παραδεδομένα ἡμῖν ἀναλαβόντες,

καὶ ἐτυμολογικαῖς βίβλοις κατὰ τὸ ἡμῖν ἐφικτὸν
ἐκλεξάμενοι, ὅσα ἂν κατατάξομεν, ὡς ἂν ἔχοιμεν
ἐξ ἑτοίμου μανθάνειν, καὶ θαυμάζειν τὴν ἀπειρότε-
χνην θεὸν ἡμῶν, καὶ μετὰ τοῦ προφήτου βοᾶν· ὡς ἐθαυ-
μαστώθη ἡ γνῶσις σου ἀπ' ἐμοῦ: μέλλοντες δὲ τοῦτο
ποιεῖν, ἐπικαλεσόμεθα Χριστὸν τὸν θεὸν ἡμῶν, ἐπὶ τῷ
συνεργῆσαι, καὶ συμβιβάσαι ἡμᾶς ἐν τῇ ὁδῷ ταύ-
τῃ ἣν πορευόμεθα, ὅτι αὐτός ἐστι καὶ τῆς φύσεως ἡμῶν
δημιουργός, καὶ τῆς σοφίας χορηγός, καὶ τῶν σοφῶν
διορθωτής, ἐν γὰρ χερσὶν αὐτοῦ, καὶ ἡμεῖς, καὶ οἱ λό-
γοι ἡμῶν: Καὶ πρῶτον μὲν εἴπωμεν, τί ἐστιν ἄνθρωπος,
καὶ διὰ τί οὕτως ὀνομάζεται. ἀπ' οὐδενὸς γὰρ τῶν
ἁπάντων οἱ παλαιοί, τὰς ὀνομασίας, καὶ τοὺς ὅρους
ἀσκόπως ἔθεντο, μηδ' ὅτι γε ἐν τῷ ἑαυτῶν σοφίᾳ·
τὸ γὰρ ἐκ πάντων σωματικῶν τοῖς πᾶσιν ἀνθρώποις ἐστὶ παραπλή-
σιον· ὅτι μὴ διαλλάττα καὶ τά τινα φύσεως δια-
φορὰν ἄνθρωπος, ἀνθρώπου· ἀλλ' ὡσαύτως ἔχουσιν ἀλλήλοις
πεφύκασιν ἄνθρωποι κατὰ τὸν τῆς οὐσίας λόγον,
ὥστε καὶ ὑφ' ἓν εἶδος πάντας ἀνάγεσθαι, καὶ ὑφ' ἓν τῇ-
να ὁρισμόν: —

εἶδος

Τί ἐστιν ἄνθρωπος: ἄνθρωπος ἐστί, ζῶον λογικόν, θνητόν, νοῦ, τί ἐστιν ἄνθρωπος.

καὶ ἐπιστήμης δεκτικόν· ζῶον μέν, ὅτι καὶ ὁ ἄνθρωπος οὐ-
σία ἐστὶν ἔμψυχος, αἰσθητική· οὗτος γὰρ ὅρος ζώου·
λογικὸν δέ, ἵνα χωρισθῇ τῶν ἀλόγων· καὶ θνητόν, ἵνα
διαστῇ τῶν ἀθανάτων λογικῶν, ἤτοι ἀγγέλων· τὸ δὲ
νοῦ καὶ ἐπιστήμης δεκτικόν, ὅτι διὰ μαθήσεως προσ-
γίνονται ἡμῖν αἱ τέχναι, καὶ αἱ ἐπιστῆμαι· ἔχουμεν δὲ
δύναμιν δεκτικήν· τὴν δὲ ἐνέργειαν κτώμενοι ἐκ
τῶν μαθημάτων: +

ἐτυμολογία τοῦ ἀνθρώπου

Ὁ δὲ ἄνθρωπος ὄνομα· παρὰ τὸ ἔναρθρον ἔχειν τὴν φωνήν·
τῶν ἄλλων ἁπάντων ζώων ἀνάρθρως, καὶ ἀσημάντως
φωνούντων· τινὲς δέ, παρὰ τὸ ἀναθρεῖν καὶ λογίζεσθαι
ἅπερ ὄπωπε· τουτέστι παρὰ τὸ βλέπειν καὶ τὸ νοεῖν
καὶ διαλογίζεσθαι τὰ δέοντα· τῶν ἄλλων ζώων μὴ λο-
γιζομένων, ἢ προνοουμένων· ἄλλοι δέ, παρὰ τὸ ἄνω
θρεῖν τοὺς ὀφθαλμούς, ἤγουν ἄνω αἴρειν· ἢ παρὰ τὸ ἀθρῶ
τὸ βλέπω, ἄθρωπος, καὶ ἄνθρωπος· ἢ παρὰ τὸ ἄνω ῥέ-
πειν, ἀνάρωπός τις ὤν· τὰ μὲν γὰρ τετράποδα, ὥς φησιν
ὁ μέγας Βασίλειος, ἐπὶ τὴν γῆν βλέπει, καὶ πρὸς τὴν

Βασίλειος

γαστέρα νένευκεν, ἀνθρώπου δέ, ἄνω πρὸς οὐρανὸν ἡ ἀνάβλε-
ψις, ὡς τὸ μὴ σχολάζειν γαστρί, μηδὲ τοῖς ὑπογαστρίοις
πάθεσι· γνώριμον δέ, ὅτι καὶ τοῖς ἀψύχοις καὶ μορφὴν

καὶ τῆς τῶν λογικῶν μεταληφθείσης θέσεως :-

Εὐθὺς γὰρ ἐν τῇ πρώτῃ σπορᾷ, καὶ καταβολῇ τοῦ σπέρ- περὶ τῆς πρώτης σπορᾶς, καὶ καταβολῆς τοῦ σπέρματος:
ματος, ἐν τῇ μήτρᾳ τὸ περιπεσόν, τοῦ ἀντιχροῖς τὸ
σώματος παραπλήσιον, ὡς ἐκ τῶν τεσσάρων στοιχείων ἔ-
χον τὴν κρᾶσιν, πλὴν ὡς ἐκ ζώντων ἀποκεκρινόμενον, ζῶ-
σαν δύναμιν καὶ τὴν ἐνέργειαν, τῶν φυσικῶν δυνά-
μεων ἐν αὐτῷ ἀναφαινομένων: καὶ χρόνον γάρ τινα περὶ τοῦ τοῖς ζωοφύτοις ἐξομοιοῦται:-
χρόνον παραμεῖναν τῇ μήτρᾳ, ἐκ πάσης περισσῆς,
καὶ τινος φυσικῆς ἰκμάδος ἀντλήσεως περιλαμβανό-
μενον, τοῖς ζωοφύτοις ἐξομοιοῦται. καὶ ταύτην θρε-
πτικήν, καὶ αὐξητικὴν δύναμιν. καὶ κατατρέφεται,
καὶ αὔξεται τὸ ἀνθρωπόφυτον τοῦτο, καὶ ῥιζομερεῖ,
καὶ μέλη ἀποτυποῦται: πάλιν δὲ κατ' ὀλίγον ἐναρθρου- περὶ τοῦ ζωοῦ(ται)
νόμενον, ζωοποιοῦται ζωοῦται ἐκεῖ, καὶ αἱ ζωτι-
καὶ ἐν αὐτῷ ἐνεργοῦσι δυνάμεις. ὅτε καὶ τοῖς ἐναλί(οις)
ζώοις ἐστὶ παραπλήσιον. διὸ καὶ ἔμβρυον λέγεται, περὶ τοῦ ἐμβρύου
διὰ τὸ ἔσω βρύειν, τρέφεσθαί τε, καὶ αὔξεσθαι, ἢ
διὰ τὸ ἔνδοθεν τὴν φορὰν ἔχειν, ἢ διὰ τὸ ἔνδοθεν εἶναι
φορτός: Ἡ δὲ μήτρα, διὰ τὸ μητέρα εἶναι τῶν γινο- περὶ μήτρας, καὶ πῶς ὀνομάζεται, διατί νηδὺς:
μένων παρὰ τὸ μήτηρ εἶναι τοῦ γεννωμένου. λέγε(ται)
καὶ νηδύς. καὶ δελφύς. καὶ ὑστέρα. νηδὺς μέν, ὅτι

μεθ' ἣν δύναται ποσῶς ἐνεργεῖν, ἢ ἀπὸ τοῦ διανενεμῆσθαι,
ὅτι σεσωρεῦσθαι καὶ ἀποπληροῦσθαι τραχύτητος·

διατί ἡ φύσις τραχεῖαν ἐποίησε τὴν μήτραν:

καὶ γὰρ ἡ φύσις, τραχεῖαν ταύτην ἐποίησε, καὶ κοτυλη-
δόνας εἶχεν μετὰ φλεβῶν, καὶ ἀρτηριῶν τινῶν, ἵνα μὴ
ὁ σπόρος ἐξολισθαίνῃ διαλειπόντων, καὶ ἄκαρπος ἡ
τίκτουσα διαμένῃ: ἢ ὅτι ἐπὶ ῥοαῖς τὴν τροφὴν
τοῦ ἐμβρύου, ἀπ' αὐτῆς γίνεται, δι' ἀγγείων γὰρ θέρμαν.
ἢ ὑστέρα τὸ ὑπέρτατον, καὶ τὸ διωμόριον, ὅτι καὶ παι-
δοποιίας ἐστέρηται, καὶ διὸ θηλείας ὑφίσταται: +

διατί δελφύς

Δελφὺς δέ, ὅτι ἀδελφοποιός ἐστι, καὶ ἀδελφὰς ποιεῖ
τὰ τικτόμενα· ἀδελφοὶ γὰρ οἱ ἐκ τῆς αὐτῆς δελφύος, ἢ
μήτρας· καὶ ὁμοδελφεῖς, οἱ αὐτάδελφοι: +

διατί ὑστέρα

Ὑστέρα δέ, ὅτι ὑστερεῖν πάντων τῶν ἄλλων μορίων
τὰς ἐνεργείας αὐτῆς ἐπιδείκνυται, τὴν ἑλκτικήν,
τὴν καθεκτικήν, τὴν ἀλλοιωτικήν, καὶ ἀποκρι-
τικήν, δηλονότι καὶ τὸ ὑστεροφρονεῖν· ἢ ὅτι ἐσχάτη
τῶν μετ' αὐτὴν γαστέρα κεῖται: +

πόθεν τρέφεται τὸ ἔμβρυον, καὶ πόθεν ἀναπνεῖ

Τρέφεται δὲ ἐν τῇ
μήτρᾳ τὸ ἔμβρυον, καὶ ἀναπνεῖ, οὐκ ἐκ τοῦ στόματος,
ἀλλ' ἐκ τοῦ ὀμφαλοῦ, ἐξ αἱματικῶν μητρῴων ἀπο-
ειτωμάτων, ὅθεν καὶ ὀμφαλὸς παρὰ τὸ ἐμπνεῖν ἀνα-

πόθεν ὀμφαλός

ἔρχεται, ὅτι ἀναπνεῖν· ἢ δὲ ἔστιν τὸ μέσον τοῦ σώ-

ματος· ἐν δὲ τῇ γενέσει τούτου τοῦ ζώου λέγεται, πρῶτον περι- ὅρα ὅτι περιγίνεται πρῶτον χωρίον λεπτόν:
γίνεσθαι ὑμένα τινὰ λεπτόν, ὃν καλοῦσι χωρίον, ὥσπερ
ἄχρον τὸ ἔμβρυον, ἢ ὡς χώριον αὐτὸ ὄν, τὸ χορηγοῦν τῶν
διατρεφόντων αὐτό· εἶτα ἡ καρδία πρώτη καταβλη- καρδία
θεῖσα παρὰ τῆς φύσεως ἀναλογοῦσα τοῖς μετὰ τὴν πᾶ-
σαν τῆς φύσεως κατασκευὴν καταβολήν. διὸ καὶ συμμέ-
τρως ταῖς οἰκείαις ἀρχαῖς ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ πε-
ριυφαινομένου τοῦ σώματος ἀπαρτίζεται καὶ τὴν σύνθεσιν:
σχηματίζεται δὲ ἐν τῇ μήτρᾳ, τὰ μὲν τετράποδα τῶν πῶς σχηματίζονται τὰ ζῶα ἐν τῇ μή-
ζώων, ἐκτεταμένα κεῖσθαι· ὁ δὲ ἄνθρωπος τὴν μὲν ῥῖνα τρα, καὶ πῶς ὁ ἄνθρωπος:
μέσον τῶν γονάτων ἔχων· τοὺς δὲ ὀφθαλμοὺς ἐπὶ τοῖς
γόνασι· τὰ δὲ ὦτα ἐκτός. καὶ ὅταν τὸν τεταγμένον τῆς πῶς γεννῶνται:
κυήσεως ἐκπληρώσῃ χρόνον, πρὸς ὄγκον ἡ γαστὴρ διεγη-
γερμένη, ὠθεῖ τὸ ἔμβρυον εἰς τὰ ἔξω· καὶ πρῶτον
τῆς κεφαλῆς ἀπολυομένης ἐπεὶ καὶ τὴν κίνησιν τὰ
βαρύτερα, καὶ ὅμως δὲ στρεφομένου τοῦ σώματος, ἐπισυρο-
μένης ταῦτα δὲ κατὰ τὰ περὶ τῶν ὤμων μέρη, καὶ τὸν
θώρακα, καὶ αὕτη λοιπὸν ἡ κατὰ φύσιν γίνεται οἰκεία
ἔμπροσθεν ὁδός· τὸ γὰρ παρὰ φύσιν τόκοις, ἡ δυστο-
κίας παραλαμβάνον. μετὰ γοῦν τὴν χειρουργίαν τοῦ
ὀμφαλοῦ μετάγεται ἡ τροφή, καὶ ἀναπνοὴ ἐν τῷ σό-

ματι. ἡ δὲ μαστὸς ταύτῃ τροφὴ τοῦ βρέφους πᾶσι δῆλ-
ον τὸ καλὸν ἀπὸ ἀνατροφὴν γάλα τῶν βρεφῶν:

τί ἐστι γάλα. Οὐδὲν δέ ἐστι τὸ γάλα, ἢ αἷμα λευκαινόμενον ἐν τοῖς
μαστοῖς τῶν μητέρων, παρὰ τῶν ἀμφισβαινόντων φλε-
βῶν τῶν ἀπὸ τῆς μήτρας τοῦτο τὸ αἷμα δεχομένων:

πόθεν μαστοί. μαστοὶ δὲ κυρίως ἐπὶ τῶν γυναικῶν, οἷα μαστεύοντες, οὐ
τινῶν γὰρ ἄλλοις τροφή. ἢ ἀπὸ τοῦ μάσσω, τοῦτ' ἔστι τὴν τροφὴν
τοῖς γεννωμένοις παρέχειν, ἀφ' ἧς καὶ τὸ μάστημα: ἢ
ἀπὸ τοῦ πρὸς μάττεσθαι, καὶ προσφύεσθαι τούτοις τῶν
τοῖς τὰ βρέφη: ἢ ἀπὸ τοῦ ὑπὸ τῶν θηλαζομένων βρε-
φῶν ἐπισπᾶσθαι: ἢ παρὰ τὸ μαίω, τὸ ζητῶ· ὃν ἐπι-

πόθεν μήτηρ. ζητοῦσιν οἱ παῖδες, ἐξ οὗ καὶ μήτηρ, ἡ ζητουμένη παρὰ τῶν
παίδων. ἢ ἡ μαστεύουσα τὰ πρὸς τροφὴν τοῖς κυηθεῖ-
σιν. ἢ ὅτι φυσικῶς αὐτὰ μαστεύει, καὶ ζητεῖ τὰ γεννη-
θέντα, ὅτι δὴ καὶ μαίω τὸ ζητῶ φησὶν ὁ Ὅμηρος, μαιομένη κευθ-
μῶνας. ἐκ τούτου καὶ μαῖα ἡ κατὰ γαστρὸς καταζη-

βρέφος. τοῦσα τὰ βρέφη: βρέφος δὲ ἀπείρηται, παρὰ τὸ δέχεσθαι
φορβῆς, ὅ ἐστι τροφῆς· κοινωνὰ γοῦν τοῖς μετ' αὐτῶν ἔχεις τὸ
τὸ σῶμα, καὶ τὴν ζωὴν ἀπὸ τῶν τεσσάρων στοιχείων κράσεων:

ὅρα τὰ κοινὰ τοῖς ἀλόγοις. τοῖς δὲ φυτοῖς κατὰ ταῦτα, καὶ τὴν θρεπτικήν, καὶ αὐξη-
τικὴν δύναμιν: τοῖς δὲ ἀλόγοις, καὶ ἐν τούτοις μέν,

ἐξάπτεται [illegible], κατὰ τὴν αἰσθητικήν, καὶ ἀνα-
πνευστικὴν δύναμιν· ταῦτα γὰρ ἅπαντα κοινὰ τοῖς ἀνθρώποις,
καὶ τοῖς ἀλόγοις ἐστίν, εἰ καὶ μὴ πᾶσι πάντα· ἀλλ' ἐκ
διὰ τοῦ λογικοῦ, ταῖς ἀσωμάτοις καὶ νοεραῖς συνάπτεται
φύσεσιν ὁ ἄνθρωπος εἰς ἡλικίας ἐλθών, λογιζόμενον,
καὶ νοῶν, καὶ κρίνων ἕκαστα: Ἡ δὲ ψυχὴ ἀρχῆθεν
σὺν τῇ ἀποφορᾷ τῷ σώματι ἐξυφαίνεται, καθὼς καὶ
ὁ σοφώτατος Γρηγόριος συνέγραψε· οὐδὲ γὰρ ἦν
φησὶ δυνατὸν ἵνα λογιζόμεθα, ἀλλοτρίαις οἰκοδομαῖς
τὴν ψυχὴν ἐναρμόζεσθαι· ὡς οὐκ ἔστι τὴν ἐν τῷ κηρῷ
σφραγῖδα πρὸς ἀλλοτρίαν ἁρμοσθῆναι γλυφήν.
καθάπερ γὰρ τὸ σπέρμα ἐκ βραχυτάτου πρὸς τὸ τέλεια
προβαίνει, οὕτω καὶ ἡ τῆς ψυχῆς ἐνέργεια καταλλήλως
ἐμφυτευομένη τῷ ὑποκειμένῳ συνεπιδίδωσι, καὶ
συναύξεται σώματι· προηγεῖται μὲν γὰρ αὐτῆς ἐν τῇ πρώ-
τῃ κατασκευῇ, οἱονεί τινος τῇ γῇ κατακρυφθεί-
σης, ἡ αὐξητικὴ καὶ θρεπτικὴ δύναμις μόνη· οὐ
γὰρ ἐχώρει τὸ πλεῖον ὁ τέως ἐνδεχομένου βραχύ-
της· εἶτα προϊόντος εἰς φῶς τοῦ φυτοῦ, καὶ ἡλίῳ
τὴν βλάστην δείξαντος, ἡ αἰσθητικὴ χάρις ἐπήνθησε:
ἁδρυνθέντος δὲ ἤδη καὶ εἰς σύμμετρον μῆκος ἀνα-

συνάπτεται τοῖς ἀσωμάτοις διὰ τοῦ λόγου:

πῶς ἡ ψυχὴ ἐν τῷ σώματι:

Γρηγορίου

πότε ἡ ψυχὴ ἐν τῷ σώματι

πῶς ἀρχὴ ἡ λογικὴ δύναμις

δραμόντες, καθάπερ ἡ ἐκ παρτὸς ἡ λογικὴ δύναμις ἄρχεται, οὐ πᾶσα ἀθρόως ἐμφαινομένη, ἀλλὰ τῇ τοῦ ὀργάνου τελειώσει, διὰ τῆς μετ' ἡλικίας συναυξούσης, τοσοῦτον ἀεὶ προφέρουσα, ὅση χωρεῖ τοῦ ὑποκειμένου ἡ δύναμις: τὴν γὰρ πρώτην τῆς συστάσεως ἀφορμὴν, συναπηρτισμένην τὴν τῆς φύσεως δύναμιν ἐγνώκαμεν· ἔξω πλουτεῖσθαι δὲ, καὶ φανεροῦσθαι, διὰ τῆς φυσικῆς ἀκολουθείας, πρὸς τὸ τέλειον περιιοῦσαν, οὐ προσλαμβάνουσαν τι τῶν ἔξωθεν εἰς ἀφορμὴν τελειώσεως, ἀλλ' αὐτὴν ἀφ' ἑαυτῆς εἰς τὸ τέλειον διακολουθείας προάγουσαν, ὡς μήτε ψυχὴν πρὸ τοῦ σώματος, μήτε χωρὶς ψυχῆς τὸ σῶμα ἀληθῶς εἶναι λέγειν καὶ τὴν τῶν ἑλλήνων ἀδολεσχίαν, ἀλλὰ μίαν ἀμφοτέρων ἀρχήν:—

ὅτι ἅμα ψυχὴ κἅμα σῶμα:

ὅτι πᾶν σῶμα ἐκ δ' στοιχείων:

Ἐπειδὴ δὲ ἐκ τοῦ σώματος ὁ λόγος [illegible], πᾶν δὲ σῶμα ἐκ τῶν τεσσάρων στοιχείων συνίσταται, ἀνάγκη τούτοις τοῖς παθεῖ ἐπελθεῖν ἐπαναλαβεῖν, οἷς καὶ τὰ στοιχεῖα: τὰ δὲ στοιχεῖα δι' ὧν ὁ κόσμος ἅπας, γῆ δηλονότι, καὶ ὕδωρ, καὶ πῦρ, καὶ ἀήρ:

διὰ τί ἀρρη[illegible] στοιχεῖον:

Εἴρηται δὲ στοιχεῖον, παρὰ τὸ συστοιχεῖν ἀλλήλοις, καὶ ἐφαρμόζειν τῆς ἑξῆς πᾶσιν εὐαρμόστου ποιότητος, οὐ μόνον γὰρ ἕκαστον τῶν στοιχείων ἰδιάζουσαν, καὶ ἀπὸ [illegible] πληρω-

μένην ἔχει ποιότητα, δι' ἧς τῶν λοιπῶν ἀποκέκριται, ὅτι ἕκαστον τῶν στοιχείων ἰδιάζουσαν ἔχει ποιότητα, καὶ συνεζευγμένας:—
καὶ ὁποῖον ἐστὶν ἐπιγινώσκεται, ἀλλὰ καὶ συνεζευγμένας
ἔχει ποιότητας, καὶ οὐδὲν ἀπολελυμένως ἐστὶ μονα-
χόν, οὐδὲ ἁπλοῦν, καὶ εἰλικρινὲς τῶν στοιχείων· ἀλλ' ἡ
μὲν γῆ, ξηρὰ καὶ ψυχρά· τὸ δὲ ὕδωρ, ὑγρὸν καὶ
ψυχρόν· ὁ δὲ ἀήρ, θερμὸς καὶ ὑγρός· τὸ δὲ πῦρ, θερ-
μὸν καὶ ξηρόν· οὕτω γὰρ διὰ τῆς συζύγου ποιότητος
ἡ δύναμις περιέρχεται τοῦ ἀναμεμῖχθαι ἕκαστον
πρὸς ἕκαστον: οἷον, ἡ γῆ, ξηρὰ οὖσα καὶ ψυχρά,
ἑνοῦται μὲν κατὰ τὴν συγγένειαν τῆς ψυχρότη-
τος τῷ ὕδατι· ἑνοῦται δὲ διὰ τὸ ὑγρὸν τῷ ἀέρι:
Ὁ δὲ ἀὴρ θερμὸς ὤν, καὶ ὑγρός, τῇ μὲν θερμότητι,
ἑνοῦται τῷ πυρί· τῇ ὑγρότητι δὲ τῷ ὕδατι: τὸ δὲ πῦρ,
θερμόν, καὶ ξηρὸν ὑπάρχον τῇ φύσει, τὸ μὲν θερμὸν
πρὸς τὸν ἀέρα συνδεῖται· τῷ ξηρῷ δὲ πρὸς τὴν κοι-
νωνίαν τῆς γῆς ἐπανέρχεται· τὸ δὲ ὕδωρ, ψυχρὸν
ὂν καὶ ὑγρόν· τῇ μὲν ψυχρότητι, τῆς γῆς, τῇ δὲ ὑγρό-
τητι τοῦ ἀέρος ἐφάπτεται· καὶ οὕτως γίνεται κύκλος,
ἤτοι π
καὶ χῶρος ἐναρμόνιος: καὶ ταῦτα μὲν ὡς πρῶτα στοι-
χεῖα, εἰς ὕλας καὶ αὖθις ἀναλυόμενα τὰ ἀτομασωι-
στα πάντων γενῶν, ἀψύχων, ἐμψύχων, καὶ ζωοφύτων.

καὶ τοὺς συγγενεῖς τοῦ σώματος ἐκ μὲν ἄλλων γεννῶσι χυμοὺς, αἷμα δηλαδὴ λέγω, καὶ φλέγμα, καὶ χολὴν ξανθήν τε, καὶ μέλαιναν· ἀναλογοῦσι γὰρ τὸ μὲν αἷμα θερμὸν ὂν καὶ ὑγρὸν, τῷ ἀέρι· ἡ δὲ ξανθὴ χολὴ, θερμὴ οὖσα, καὶ ξηρὰ, τῷ πυρί· ἡ δὲ μέλαινα, ψυχρὰ καὶ ξηρὰ, τῇ γῇ· τὸ δὲ φλέγμα, ὡς ψυχρὸν καὶ ὑγρὸν, τῷ ὕδατι· ἀλλ᾽ ἐπειδὴ ταῦτα τε μὲν, καὶ μεταβολὴν, καὶ ῥύσιν πάσχει πάντα, ἀνάγκη καὶ τὸ σῶμα τὰ τούτων τοῖς πάθεσι πάσχειν πάντα· τῇ μὲν, τῇ τῶν χυμῶν ἀπ᾽ ἀλλήλων διαχωρήσει, καὶ καθόλου εἰς ὕλην, καὶ εἶδος· μεταβολῇ δὲ, τῇ κατὰ τὴν ποιότητα, ἢ ποσότητα ἢ θερμαινόμενα καὶ ψυχόμενα, πλεονασμῷ καὶ ὑφαιρέσει τυχὸν καὶ νοσήματα, καὶ ταῖς τῶν ἡλικιῶν ἀλλοιώσεσι· τεσσάρων γὰρ οὐσῶν τῶν ὡρῶν τῷ ἐνιαυτῷ, ἔαρος, θέρους, χειμῶνος, καὶ μετοπώρου· τέσσαρες εἰσὶν ἡλικίαι τοῖς ἀνθρώποις· πρώτη μὲν ἡ τῶν νέων, ἃ τῶν ἐστί· δευτέρα, ἡ τῶν ἀκμαζόντων· τρίτη, ἡ τῶν μέσων· καὶ τετάρτη, ἡ τῶν γερόντων, ἃ καὶ ἄλλας προστιθέασιν οἱ ἰατροί· τὴν τῶν παίδων τὴν μαρανώδη· καὶ τῶν ἐσχατογήρων:~ πλεονάζει δὲ τοῖς μὲν νέοις, τὸ αἷμα· τοῖς ἀκμάζουσι δὲ, ἡ ξανθὴ χολή· τοῖς παρακμά-

ζουσιν, ἡ μέλαινα· τοῖς γέρουσι δὲ, τὸ φλέγμα. καὶ φασὶν οἱ μὲν νέοι θερμοὶ, καὶ ὑγροὶ τὴν κρᾶσιν, ἀναλογοῦντες τῷ ἔαρι: οἱ δὲ ἀκμάζοντες θερμοὶ, καὶ ξηροὶ ὅμοιοι τῷ θέρει· οἱ δὲ παρακμάζοντες οἱ καὶ μέσοι, ξηροὶ καὶ ψυχροὶ τῷ μετοπώρῳ παρόμοιοι ὄντες: οἱ γέροντες δὲ, καὶ ψυχροὶ καὶ ὑγροὶ, παραπλήσιοι τῷ χειμῶνι: τὸ ἔμφυτον θερμὸν, ἐν μὲν τοῖς νέοις, καὶ τοῖς ἀκμάζουσιν, ἐστὶ πολύ· μέσον δὲ, ἐν τοῖς μέσοις· ὀλίγον δὲ ἐν τοῖς γέρουσι: Καὶ ποτὲ μὲν πλεονάζει, ποτὲ δὲ αὔξεται· ποτὲ δὲ ἵσταται· ποτὲ δὲ μειοῦται· καὶ ποτὲ μὲν μᾶλλον, ποτὲ δὲ ἧττον:+ ρᾶσα δὲ πάλιν πάλαι, ὅτι ἀναπνεῖται τὸ ζῶον, διά τε τῶν προδήλων πόρων, καὶ τῶν ἀδήλων· καὶ ἐκ προδήλων μὲν πόρων, τὰ οὖρα, καὶ περιττώματα, μύξαι, καὶ πτύελα, καὶ τὰ ἀποκρίνεται: ἐκ δὲ ἀδήλων, ὑπονόμων, καὶ φλοιοῖς, οἷα ἐκ τοῦ κατὰ τὸ ὀχετοὶ, εἰς ἅπαν τὸ σῶμα πολυχόδως διαπνέουσιν, αἵ τε λιγνυώδεις ἀναθυμιάσεις διὰ τῆς κεφαλῆς, καὶ τῶν ἀρτηριῶν, καὶ τῶν τοῦ σώματος πόρων δι᾽ ἱδρώτων ἐκκενουμένων· ξηρῶν δὲ ὄντων τῶν ἐκκενουμένων, καὶ ὑγρῶν, καὶ πνοῶν· ἀνάγκη ξηρᾶς, καὶ ὑγρᾶς τροφῆς δεῖσθαι τὸ ζῶον, ἤτοι,

ἵνα μὴ ἐνδείᾳ τῶν ἐπεισιόντων τροφῶν διαλυθῇ, καὶ ἀπο-
πέσῃ, ἀλλὰ τοῖς ἀποκενουμένοις ἀντεισάγηται τὰ ἴσα διὰ
τῆς καταλλήλου τροφῆς: +

καὶ γὰρ τὸ ἐν ἡμῖν μὲν ἔμφυτον θερμὸν, ἀεὶ τὴν ὑποκαί-
ουσαν καὶ τρέφουσαν αὐτὸ ὕλην ἐπιζητεῖ· καὶ ἀπο-
σφαίξαι τὸ πόθεν αὐτῆς, οὐδὲ οὕτως ἵσταται τῆς αὐτοῦ τῆς
ἐνεργείας, ἀλλὰ καθάπερ ἐν χωνευτηρίῳ συντήκειν
τῶν ἀποσαλθόντων, καὶ ἀνάκρισιν ποιησάμενον, ἐπὶ τῆς
αὖθις τροφὴν ἐπιζητεῖ, καὶ οὐδέποτε ἵσταται ἡ κατὰ
φύσιν ἔχων τὸ ζῶον τῆς τοιαύτης ὁρμῆς· εἰ δὲ ποτε κι-
νούμενον παύσεται, καὶ τὸ εἶναι ἀπώλεσεν:

ἣν δὴ τοιαύτην ὁρμὴν, ὄρεξιν ὀνομάζομεν, οὐδὲν γὰρ ἄλ-
λο τί ἐν ὄρεξις, ἢ τροφῆς, καὶ ποτοῦ ἐπιζήτησις:

ὁ δὲ ὀρέγεσθαι ἔργον τῆς φυσικοῦ τοῦ σώματος, μετὰ ψυ-
χικῆς συναισθήσεως γινόμενον: ἔστι δὲ ἡ μὲν ἡ τρο-
φὴ, καὶ τὸ ποτὸν, διὰ τῶν στοιχείων, ἐξ ὧν καὶ συνεστήκαμεν:

ὅτι τὰ στοιχεῖα καὶ αὐτὰ εἰς καρποὺς ἀναλλοιοῦνται, οἱ δὲ
καρποὶ, εἰς τροφάς, αἱ τροφαὶ εἰς τοὺς στοιχειώδεις
χυμούς, ἤγουν αἷμα, φλέγμα, χολὴν ξανθὴν, καὶ μέ-
λαιναν· οὗτοι εἰς σάρκας, εἰς δέρμα, εἰς ὀστᾶ, νεῦρα,
φλέβας, τὰς ἀρτηρίας, μυαλούς, σπλῆνα, πνεύμονα,

τί ἐστιν ὄρεξις

ὅρα ἀλλοίωσιν στοιχείων, καρπῶν, τροφῶν, καὶ χυμῶν: +

ὑμένας, ἀδένας, συνδέσμους, μύας, χόνδρους,
ὄνυχας, τρίχας· καὶ ταῦτα ἃς τύποις, καὶ μέλη,
καὶ μέρη, καὶ μόρια, ἐξ ὧν τὸ εἶδος τοῦ σώματος
ἡμῶν ἀποτελεῖται: Καὶ γὰρ τῶν στοιχείων, τὰ μὲν,
προσεχῶς τρεφόμεθα, καὶ διὰ μέσων τινῶν προσφερό-
μεθα, ὡς ὕδωρ, ποτὲ μὲν καθαυτό, ποτὲ δὲ διὰ μέ-
σου τοῦ οἴνου, τοῦ ἐλαίου, καὶ πάντων τῶν ἄλλων τῶν κα-
λουμένων ὑγρῶν καρπῶν: Ὁμοίως δὲ καὶ πυρὸς
μεταλαμβάνομεν, ποτὲ μὲν πρὸς αὐτό, προσεχῶς
ὑπ' αὐτοῦ θαλπόμενοι, ποτὲ δὲ τῇ ἑψήσει διὰ μέσων
ὧν ἐσθίομεν, ἢ καὶ πίνομεν: Τὸν αὐτὸν τρόπον καὶ
τοῦ ἀέρος, προσεχῶς μὲν ἀναπνέοντες αὐτόν, καὶ πε-
ρικεχυμένον ἔχοντες, καὶ ἐν τῷ ἐσθίειν, καὶ πίνειν ἀνέλ-
κοντες διὰ τῆς ἀναπνοῆς, διὰ μέσου δὲ τῶν ἄλλων ὧν
προσφερόμεθα: Τὴν δὲ γῆν, προσεχῶς μὲν ἡμᾶς οὐ-
δαμῶς ἐσθίομεν, διὰ μέσου δὲ τῶν ζώων, καὶ σπερμάτων,
καὶ φυτῶν· ἡ γὰρ τῶν φυτῶν, καὶ σπερμάτων φύσις, οὐ
δι' ἑαυτήν, ἀλλ' ἀστερφήν, καὶ σύστασιν ἀνθρώπων, καὶ τῶν ἄλ-
λων ζώων παρὰ τοῦ δημιουργοῦ εἰς τὸ εἶναι παρήχθη·
ὡς εὑρίσκεσθαι τὰ μὲν φυτά, καὶ τὰ σπέρματα, διὰ
τὰ ζῶα, ταῦτα δέ, καὶ τὰ ζῶα, διὰ τὸν ἄνθρωπον γεγονότα,

ἀπαρτισμὸς τοῦ εἴδους τοῦ σώματος:

ὅρα πῶς μεταλαμβάνομεν τῶν στοιχείων προσεχῶς· καὶ διὰ μέσου τινός·

ὅτι δὲ σώματα ἐσθίομεν τὴν γῆν οὐ προσεχῶς

ἵνα τῶν τροφῶν ὡς ἂν κύκλῳ χορηγουμένων, ἀνελλι-
πῶς καὶ ἡ τῶν περιφερόντων τοῖς καρποῖς διαμένῃ
φύσις, ἃ καὶ λεληθότως ὁσημέραι πρὸς ἓν κατὰ σοφὴν
τῶν στοιχείων τὰ διάφορα γίνεται μεταχωροῦσι:
γὰρ τῶν ἀντεμφερομένων στοιχείων πρὸς ἄλληλα συνδρομῇ
κατὰ τὴν τοῦ σώματος ἡμῶν κατασκευήν, καὶ τῶν ἄλ-
λων ἁπάντων διαφερόντων γενῶν, συντεθεῖσι ἕκαστον,
διὰ πλειόνων ἁρμονιῶν ἀνομοίων ἁρμοζομένης. ἐκλυ-
θείσης δὲ τῷ καθήκοντι καιρῷ, τῆς συνδεούσης τὴν τῶν
στοιχείων ἁρμονίαν συνδέσμου, πάλιν τὸ συντεθὲν
εἰς τὰ ἐξ ὧν συνέστηκε, φθαρὲν ἀναλύεται, ἑκάστου
τῶν συνελθόντων, εἰς τὴν οἰκείαν χώραν ἐπανιόντος.
τοῦτο δὲ οἷον κυκλικόν τι σχῆμα, ὃ καὶ τῆς φύσεως
τὴν ἀκολουθίαν, καὶ τοῦ σώματος ἔργον, καὶ τῶν στοι-
χείων ἁρμός. καὶ τοῦ χρόνου, διὰ τῆς ἐφόδου καὶ τῆς ἡλια-
κῆς ἀνακυκλήσεως μετρεῖν, ὃ περιέξει αὐτοῦ ἀρχὴν,
καὶ ἀπ' αὐτῆς καταλήγει. οἷον τί κατὰ τὴν γεωργίαν ἐστὶν
ἰδεῖν. τῆς συναφῶν ἀπομφερείας, ἢ τῆς τῶν ὀχετῶν ἐ-
πιρροῆς διάβροχον ποιούσας τὸ ὑποκείμενον:
Κἂν προσδῇ τοῖς ὑποκειμένοις τῷ λόγῳ, μυρίας δένδρων
διαφόρων παντοδαπάς τε τῶν ἀπὸ γῆς φυομένων

τὸ ἀναλύεσθαι
τὸ συντεθὲν
ἐξ ὧν συνέστη

παραδείγματα:

ἰδέας ἐν ἑαυτῷ τρέφων· ὡς τὸ σχῆμα, καὶ ἡ ποιότης,
καὶ ἔτι τῆς χροᾶς ἰδιότης, ἐπὶ πλεῖστον διαφέρει τοῖς
καθ᾽ ἕκαστον ἄνθος ὁρᾶται· τοιούτων τινῶν κα-
τὰ τῶν ἐναχωρεῖν τῷ ὑγρῷ τρεφομένων· εἰ μὲν
ὑπονοήσουσι τὰ καθ᾽ ἕκαστον δυνάμεις, καὶ τὰς κα-
τὰ τὴν φύσιν αὐτῶν. εἰ δὲ τῶν τρεφομένων ἰδιότης,
εἰς διαφόρους τῶν ὑγρῶν μεταβάλλει ποιότητας·
τῷ γὰρ αὐτῷ πικραίνεται μὲν ἐν τῇ ἀψίνθῳ· εἰς
φθοροποιὸν δὲ χυμὸν ἐν τῷ κωνείῳ μεθίσταται:
καὶ ἄλλως ἐν ἄλλῳ γίνεται· ἐν κρόκῳ, ἐν φασήλῳ,
ἐν μήκωνι· τῷ μὲν γὰρ ἀνήθῳ μαίνεται, τῷ δὲ κατα-
ψύχεται· τῷ δὲ μέσην ἔχει ποιότητα· καὶ ἐν δάφνῃ,
καὶ ἐν σχίνῳ, καὶ τοῖς τοιούτοις· αὐτὸ ποιοῦμεν ἐστὶν ἐθ᾽ ἐν
συνήθει τε, καὶ ἀμπέλῳ καὶ τὸ γλυκανθέν, καὶ
ὁ ταύτης βότρυς οἶνος ἐγένετο· καὶ ὁ τοῦ μήλου
χυλός, καὶ τὸ τοῦ ῥόδου ἐρύθημα, καὶ τὸ τοῦ
κρίνου λαμπρόν, καὶ τὸ κυανίζον τοῦ ἴου, καὶ
πάντα ὅσα κατὰ τὴν γῆν ἐστὶν ἰδεῖν, ἐκ μιᾶς καὶ τῆς
αὐτῆς ἰκμάδος ἀναβλαστάνοντα, εἰς τοσαύτας,
καὶ διαφόρους, κατά τε τὸ σχῆμα, καὶ τὸ εἶδος,
καὶ τὰς ποιότητας διακρίνεται, ὅσας οὐδὲ ῥᾴδιον

ὅρα τί ποιεῖ παρὰ τῆς φύσεως ἢ μᾶλλον παρ᾽ αὐτοῦ δὲ ἀπὸ τῆς φύσεως +

· διοικεῖναι, τί ἀριθμῆσαι: οἷον ὅτι καὶ κατὰ τὰ
ἡμῶν τὴν ἔμψυχον ἄρουραν θαυμαστὰ ποιεῖ ταῦτα παρὰ
τῆς φύσεως, μᾶλλον δὲ παρ᾽ αὐτοῦ δὲ ἀπὸ τοῦ τῆς φύ-
σεως· ὀστέα τε· καὶ χόνδροι· φλέβες· καὶ ἀρτηρίαι,
καὶ πάντα τὰ μικρὰ ὥσπερ ἀθηνὰ ἠρημένα, ἄξων
πάλιν, ὀφθαλμοί, καὶ χιτῶνες· ἶνες, καὶ ὦτα.
γλῶσσα· καὶ ὀδόντες· οὖλα, καὶ γαργαρεών· κλεῖς-
τε· καὶ θώραξ, καρδία, καὶ πνεύμων· ἔντερα,
γαστήρ, καὶ ἔγκατα πάντα μετὰ σπληνός, καὶ ἧπα-
τος, καὶ τῶν ἄλλων πάντων τῶν ἔσωθεν, πρὸς τούτοις,
χεῖρες, καὶ πόδες, καὶ πάντα τὰ ὀργανικὰ μόρια,
διαφόροις ἰδιώμασιν ἀπ᾽ ἀλλήλων κεχωρισμένα,
μιᾷ τῇ ποιότητι τῆς χυλώσεως, καταλλήλως τῇ ἑαυ-
τῶν τεκμαρτῇ φύσει, ὡς ἑκάστῳ τῶν ὑποκειμένων τὴν
τε τροφὴν προσεγγίσασαν, ὥσπερ ἂν πρὸς πλάσσα
κατὰ γένη καὶ ἀλλοιοῦσθαι, οἱ κἂν καὶ συμφυῆ τῇ
τοῦ μέρους οἰκειότητι γινομένην. ἀλλὰ γὰρ κατὰ τὸν ὀφ-
θαλμὸν γένοιτ᾽ ἂν ὁ ῥαστικὸς μορίου συγκατακραθῇ,
καὶ τῶν περὶ τὸν ὀφθαλμὸν χιτώνων ταῖς διαφοραῖς
οἰκείως ἀεὶ καθαρὸν καταμερισθῇ· ἃ δὲ χεῖρ καὶ τοῖς τῶν
ἀκοῇ μέρεσιν ἐπιρροή, τῇ ἀκουστικῇ καταμίγνυ)

ὅρα περὶ γένους ταμιεῖα:

φύσα· καὶ ἐν χάλκει γενομένη, χάλκος ἐγένετο· καὶ ἐν ὀστέῳ πήγνυται· καὶ ἐν μυελῷ ἁπαλὴ μένει. καὶ τονοῦται μετὰ τοῦ νεύρου, καὶ τῇ ἐπιφανείᾳ συμπεραίνεται, καὶ ἀσθενῶς ὄνυχας διαφαίνει, καὶ ἐπὶ τριχῶν γένεσιν λεπτὸν ποιεῖται τοῖς καὶ τοῖς ἄλλοις ἀτμοῖς: Ἐπὶ μὲν διασκολιῶν περαίνοιντο πόρων, οὐλότεραί τε, καὶ κατεστυλωμένας τὰς τρίχας ἀναφύουσα: Εἰ δὲ δι᾽ εὐθείας ἡ τῶν τριχοποιῶν ἀτμῶν γένοιτο πρόοδος, τεταμένας τε, καὶ εὐθείας περαίνουσα. Αἴτιον δὲ τριχῶν καὶ ὑπολιγνύος τῆς ἀναπεμπομένης ἐπὶ τὴν κεφαλὴν ἀπὸ στομάχου, λεπτῆς μὲν οὔσης καὶ φλεγματικωτέρας, ταχέως λευκαίνονται: Χολώδους δὲ οὔσης καὶ ξηροτέρας, βραδύτερον: Ἴδιον δὲ καὶ τὸ πολιοῦσθαι μόνου ἀνθρώπου, ὥσπερ καὶ τὸ γελᾶν, τοῦτο γὰρ πάθει, καὶ μόνῳ ἀνθρώπῳ ἁρμόζει, οὐ καθόλου δέ, ἀλλ᾽ ἐν τῷ γήρᾳ γίνεται μόνον· Καλοῦνται δὲ πολιαί, ἤτοι παρὰ τὸ λευκανθῆναι, τὸ δὲ λευκὸν πολιόν (ἢ λευκόν), ἢ οἷον, παλαιὸν ἐν γήρᾳ ἡ θρὶξ γίνεται: Χρησιμεύουσιν οὖν τοῖς τοῦ περιέχοντος ἀπὸ παντὸς σώματος χυλοῦ, καὶ εὐχύμου, καὶ εὐκράτου τοῦ ζωτικοῦ πνεύματος, διάγοντές τε, καὶ δεικνύντες, εὔχροια,

περὶ διαφορ(ᾶς) τριχῶν·

διὰ τί ταχέως λευκαίνονται·

διὰ τί πολιὰ καλεῖται

ὅρα ὅτι αἴτιον διὰ τί εὔχροια ... γίνονται

καὶ τὴν κίνησιν τοῦ σώματος διαδέχονται, συνεργοῦσι
δὲ πρὸς τοῦτο, καὶ καιρῶν μεταβολαί, κατ' ἀλλήλας·
γινόμεναι, καὶ ἀνέμων καταστάσεις, καὶ ἀέρων ἀκρα-
τοὐναντίον:: σίαι, καὶ τροφῶν ἐπιτηδειότητες· καὶ τἄλλα γὰρ σφαλ-
λομένων ἐκ τούτων, ἢ παρὰ τῆς φύσεως, τὸ ἀνάπα-
λιν γίνεται, διασῴζον γὰρ τὸ ψυχρὸν ἐν τῷ βάθει, κα-
ταψύχεται τὸ ἔμφυτον θερμόν, καὶ ἰδίαν καθ' ἑαυτὸ ποι-
εῖται διάθεσιν, ὑφ' ἧς ἀπόλλυται τὸ ἄνθος τοῦ σώμα-
τος, ἢ τὸ ἐρυθρὸν αὐτοῦ χρῶμα: Ἐπεὶ δὴ ψύχεται
τὸ κοινὸν τὸ σῶμα ἐν ταῖς τῶν ὡρῶν μεταβολαῖς, καὶ θερ-
μαίνεται, οὐ περιεβλήθη κεν δὲ τὸ μὲν ὁ ἄνθρωπος ἐκ φύσεως
δέρμα παχύ, ὡς τοῖς βουσίν, ἢ τοῖς ἄλλοις ζώοις τοῖς
παχυδέρμοις· οὔτε τρίχας μεγάλας, καὶ πυκνάς,
ὡς τοῖς προβάτοις, καὶ ταῖς αἰξίν· οὔτε φολίδας
ὡς τοῖς ὄφεσι, καὶ τοῖς ἰχθύσι· οὔτε ὄστρακα, ὡς
ταῖς χελώναις, καὶ τοῖς κοχλίοις, καὶ τοῖς ὀστρακοδέρ-
μοις πᾶσιν· οὔτε πτέρυγας, ὡς τοῖς ὀρνέοις· ἀναγ-
διὰ τί αἰσθητὸς γυμνὸς ὁ ἄνθρωπος [illegible] καίως αἰσθητικὸς ὢν ἐδεήθη μὲν ἀναπληροῦσθαι τὸ μὲν
τοῦτο, ὅπερ ἡ φύσις τοῖς ἀλόγοις ζώοις ἐδωρήσατο:
οὐ μόνον δέ, ἀλλὰ καὶ οἰκήσεως διὰ τοὺς ὄμβρους, καὶ
χειμῶνας, καὶ καύματα· διὰ δὲ τὸ διαφθείρεσθαι

τὴν ἐπεισερχομένην τροφήν, ἄλλοτε τροφῆς, καὶ πο-
τοῦ, διὰ δὲ τὰς δυσκρασίας τῶν ποιοτήτων, καὶ τὴν
ὕσιν πλησμονὰς χρείας τοῦ σώματος, ἰατρῶν θεραπεί-
ας χρείαν καλεῖ μέν· οὐ γὰρ δὴ μόνον ὥσπερ τροφὴν
ἄνου τῷ ὄντι ἐγένετο, ἀλλὰ πολλῷ μᾶλλον ἰᾶσθαι θεραπεί-
ας αὐτοῦ· οὐδὲν γὰρ τῶν ἐπιγείων, ὃ μὴ ἐνεργεῖ ἐν τῇ ἰα-
τρικῇ τέχνῃ, καὶ βοηθεῖ τῷ ἀνθρώπῳ· κἂν θηρία ἅπαντα,
κἂν ἑρπετά, κἂν πετεινά· κἂν φυτά, κἂν βοτάναι,
κἂν λίθοις, κἂν ὅτι οὖν τῶν ὄντων, ἐν γῇ τε, καὶ θα-
λάσσῃ, καὶ ἐν πάσῃ τῇ κτίσει: χρεία τοίνυν ἀνθρώπῳ ἀεὶ
τροφῆς μέν, καὶ ποτοῦ, διὰ τὰς κενώσεις, καὶ διαφο-
ρήσεις, καὶ τὸ συνεστάναι τὸ ζῷον: καὶ γὰρ τὴν ξηρὰν
τροφὴν καὶ τὸ περιεργούμενον προσφθείρεσθαι
λόγον, τὴν ὑγρὰν καταδέχεσθαι, ὥστε ὄχημα γενέ-
σθαι τῆς ξηρᾶς, καὶ χαραγωγῆσαι αὐτὴν πρὸς τὴν ἀνάδο- +
σιν, ὡς φησὶν Ἱπποκράτης, ὑγρασία τροφῆς ὄχημα:
ἐσθῆτος καὶ πάλιν δεόμεθα, διὰ τὸ μηδὲ μίαν ἔχειν
ἐκ φύσεως περιβολὴν ἰσχυράν: οἴκου δέ, διὰ τὰς δυσ-
κρασίας τοῦ περιέχοντος ἡμᾶς ἀέρος, καὶ διὰ τὰ θη-
ρία: θεραπείας δέ, διὰ τὰς μεταβολὰς τῶν ποιοτήτων,
καὶ τὴν αἴσθησιν, τὴν ἐνδοθεῖσαν ἡμῖν τῷ σώματι, ἃ γὰρ

εἰς ὃ χρήζομεν ἰατρῶν:

ὅτι οὐδὲν τῶν ἐπιγείων, ὃ μὴ βοηθεῖ τῷ ἀνθρώπῳ, καὶ τῇ ἰατρικῇ τέχνῃ: +

διὰ τί ἀεὶ δεόμεθα τροφῆς, καὶ ποτοῦ +

περὶ τοῦ ποτοῦ τροφὴν δεῖ προσφέρεσθαι [illegible]:

Ἱπποκράτης:

διὰ τί χρῄζομεν οἴκου: +

διὰ τί θεραπεία: +

μὴ περισσὴ ἦν ἡ μὲν ἡ αἴσθησις, οὐδ' ἂν ἀλγῶμεν, οὐδ' ἂν θεραπείας ἐδεήθημεν, μὴ ἀλγοῦντες· καὶ διαφθά- ρημεν ἂν ἐν ἀγνοσίᾳ τοῦ κακοῦ τὸ πάθος οὐκ αἰσθόμενοι·

διὰ τί ἀλλήλων δεόμεθα

διὰ δὲ τὰς τέχνας, καὶ τὰς ἐπιστήμας, καὶ τὰς ἀπὸ τούτων χρείας, ἀλλήλων δεόμεθα· διὰ δὲ τὸ δεῖσθαι ἀλλήλων, εἰς ταὐτὸ πολλοὶ συνελθόντες, κοινωνοῦμεν ἀλλήλοις, κατὰ τὰς τοῦ βίου χρείας ἐν τοῖς συναλλάγμασιν, ἥν τινα σύνοδον, καὶ συνοικίαν πόλιν ὠνομάσαμεν, ἵνα ἐγγύ- θεν, καὶ μὴ πόρρωθεν τὰς παρ' ἀλλήλων ὠφελείας καρπώμεθα· φύσει γὰρ συναγελαστικὸν, καὶ πολιτικὸν ζῶον γέγονεν ὁ ἄνθρωπος· εἷς γὰρ, οὐδαμῶς αὐτάρκης ἑαυτῷ πρὸς ἅπαντα· δῆλον οὖν ὡς αἱ πόλεις διὰ τὰ συναλλάγ- ματα, καὶ μαθήματα συνέστησαν· ὁρίζουσι γὰρ

διὰ τί ἐν πόλει οἰκοῦμεν πολλοί, καὶ ποίαν λέγομεν πόλιν:

ὅρος πόλεως:

πόλιν, οὐ μόνον σύστημα ἱδρυμένον καὶ τῷ νόμῳ διοι- κούμενον, ἀλλὰ καὶ σύνοδος, καὶ συνοικία πολλῶν πρὸς ὠφέλειαν· δύο δὲ τῶν περιττοτέρων τούτων ὁ ἄνθρωπος ἐξαιρέτως ἔτυχεν ὑπὲρ πάντα τὰ ὄντα λογικά τε, καὶ ἄλογα ζῶα, καὶ γὰρ μόνος οὗτος συγγνώμης τυγχάνει μετανοῶν· καὶ τὸ σῶμα αὐτοῦ θνητὸν ὂν, ἀπαθανατί- ζεται· καὶ τοῦ μὲν σωματικοῦ, διὰ τὴν ψυχήν· τοῦ δὲ ψυχικοῦ διὰ τὸ σῶμα τυγχάνει· μόνος γὰρ ὁ ἄνθρωπος τῶν

λογικῶν ἐξαίρετον ἴδιον ἔσχηκεν, τὸ συγγνώμης ἀνθρώπου
μετανοοῦντα ἀξιοῦσθαι· ἔστι δὲ γὰρ τὰ ἄλογα πάθη
ἐκ τῆς πρὸς τὴν ἄλογον φύσιν συγγενείας τὰ διάφορ-
μασε ἔχει. εἰ γὰρ τῶν παθημάτων συγγενεια κατὰ τὸ
ἴσον ἐκείνοις, καὶ τοῖς ἀλόγοις ἀποφέρεται. διαφέρει
ὁ ἄνθρωπος πρὸς τὴν ἐναντίαν ὁμοιότητα. τὸ μὲν θεοειδὲς
τοῦ νοῦ πρὸς τὸ θεῖον κάλλος μεταμορφούμενος, ταῖς
δὲ κατὰ τὸ πάθος γινομέναις ὁρμαῖς, πρὸς τὴν κτηνώ-
δη φέρων ὁμοιότητα. πολλάκις δὲ καὶ ὅλως ἀποκτη-
νοῦται διὰ τῆς πρὸς τὰ ἄλογα ἐμπαθείας, καὶ διαθέσεως·
συγκαλύπτων τὸ κρατεῖν τῷ χείρονι. τούτου οὖν χάριν
ἐχαρίσατο αὐτῷ ὁ θεὸς τὸ ἐξαίρετον περὶ τὰ ἁμαρτήματα τοῦτο,
τὸ διὰ τῆς μετανοίας ἀπολύεσθαι τῶν περὶ ἡμαρτη-
μένων αὐτῷ αἰτίας. καὶ γὰρ μόνῳ ἀνθρώπῳ τοῦτο δέ-
δοται, καὶ παντί, καὶ ἀεί, παρὰ τὸν καιρὸν τῆς ἐν-
κοσμίου ζωῆς. μετὰ δὲ θάνατον οὐκέτι. καὶ ὥσπερ
ἴδιον ἐστὶ τῆς οὐσίας αὐτοῦ, μᾶλλον δὲ τοῦ ἀνθρώπου τὸ γε-
λαστικόν, ἐπειδὴ καὶ περ ἐστὶ τούτῳ μόνῳ, καὶ παντί,
καὶ ἀεί, ἂν καὶ μὴ ἀεὶ κέχρηται αὐτῷ· οὕτως ἴδιον αὐ-
τῷ, καὶ ἐξαίρετον, οὐ μόνον καὶ μᾶλλον τῶν ἄλλων ζώων,
τὸ μετὰ θάνατον ἀνίστασθαι, καὶ εἰς ἀθανασίαν μετα-

ὅρα ὅτι μετὰ θά-
νατον ἀνίστασθ(αι)
καὶ εἰς ἀθανασί-
[illegible]

χωρεῖν· τυγχάνει δὲ τοῦτο διὰ τὴν τῆς ψυχῆς ἀθανασίαν,
ὥσπερ ἐκεῖνο διὰ τὴν τοῦ σώματος ἀσθένειαν αὐτῆς, καὶ τὸ πο-
λυπάθειαν: ἴδιον δὲ αὐτοῦ καὶ τὸ τῶν τεχνῶν, καὶ
ἐπιστημῶν μαθήματα, καὶ αἱ κατὰ ταύτας τέχνας πᾶ-
σας ἐνέργειαί τε, καὶ ἐφεξῆς, ἐνεργοῦσι κἂν τῇ μέν:+

Πόσαι δυνάμεις ἐνεργοῦσι τῷ ἀνθρώπῳ:+

ὅρα πόσαι δυνάμεις ἐνεργοῦσιν ἐν τῷ μέν:

Τρεῖς δὲ περὶ τὸ λογικὸν τοῦτο ζῷον ἐνεργοῦσι δυνάμεις
αἱ· ψυχικαί· φυσικαί· ζωτικαί· τούτων ἡγεμονικαί·

περὶ τῶν ψυχικῶν, ἢ ἡγεμονικῶν δυνάμεων:

αἰσθητικαί· κινητικαί: Καὶ ψυχικαὶ μέν, καὶ ἡγε-
μονικαί, φαντασία, λογισμός, μνήμη, διάνοια,
δόξα, αὗται καὶ τὰ μέρη αἰσθήσεις, καὶ αἱ κατὰ προ-
αίρεσιν κινήσεις: Ζωτικαὶ δέ, οἷον· ἀναπνευστική,

περὶ τῶν ζωτικῶν:

καὶ σφυγμική: Φυσικαὶ δέ, οἷον, γεννητικαί, θρεπτι-

περὶ τῶν φυσικῶν:

κή, αὐξητική· καὶ αἱ τούτων ὑπηρετικαὶ δέ, ἑλκτική,
καθεκτική, ἀλλοιωτική, καὶ ἀποκριτική: Ἐπεὶ δὲ
σὺν ταύταις, καὶ τὶς ἑτέρα διακριτικὴ λεγομένη,
ἥτις κατὰ πᾶν μόριον ἐνεργοῦσα, συνιστᾷ ταῦτα,
καὶ τρέφει, καὶ τὸ περιττὸν ἀποθεῖται: Χρὴ δὲ γινώσ-
κειν ταύτας τὰς δυνάμεις ἐκ τριῶν μορίων, ἐκ κεφαλῆς
μέν, ἢ λογιζόμεθα, καὶ αἰσθανόμεθα, καὶ μεμνή-
μεθα, καὶ τόπον ἐκ τόπου μετερχόμεθα: ἐκ καρδίας δὲ,

ὅρα ἐκ ποίων μορίων ὁρμῶνται αἱ δυνάμεις:+

ὅτι ἡ σφυγμικὴ ἐντεῦθεν καρδία, ἢ διὰ αὐτῆς ἐν τῇ ἀρτηρίᾳ εἰ:+

ἢ θυμούμεθα, καὶ διὰ θερμοὶ τυγχάνομεν ὄντες,
ἐπείτε σφυγμοὺς ἔχομεν ἐν αὐτῇ τῇ καρδίᾳ, καὶ ἐ-
ξ αὐτῆς ἐχόμεναι ἐν πάσαις ταῖς ἀρτηρίαις: Ἐξ ἥπα-
τος δέ, οὖν τρεφόμεθα, καὶ αὐξανόμεθα, καὶ τὸ
πᾶν ἡμῶν ἐπιδέχεται σῶμα: Ἐκ πάσης δὲ αὐτῶν
τῶν δυνάμεων διὰ τοῦ νοὸς ἐνεργεῖται· ὅτι πᾶσα ἐ- ὅτι ὁ νοῦς ἐνεργεῖ:+
νέργεια δυνάμεώς ἐστιν ἀποτέλεσμα· αἱ δὲ ἐνέρ-
γειαι, δυνάμεις εἰσὶ τοῦ νοός. ὁ δὲ νοῦς ἡγεμονικόν τί νοῦς
ἐστι τῆς ψυχῆς· ἡ γὰρ καὶ ἀθεώρητος ἐστὶν ἡ τοῦ νοῦ φύ-
σις καθ' αὐτήν, καὶ οὐδαμῶς αὐτὸν τόπος ἐμπεριέχει τοῦ ὅτι ὁ νοῦς οὐ περιέχεται τόπῳ:
σώματος, διὰ τὸ ἄϋλον καὶ ἀσώματον· ἅτε ὑπάρ-
χων ψυχῆς ὀφθαλμός· ἀλλ' ὅμως πᾶσα περιφερι-
κὴ κίνησις τοῦ τῶν ἔργων ἐστίν. πᾶσα δὲ περιφερικῆς ὅτι ἡ φαντασία περιάγεται:+
κινήσεως περιάγεται φαντασία· φαντασία δέ ἐστι ὅρος φαντασίας:
τύπωσις τοῦ ἡγεμονικοῦ, δι' ἧς γίνεται ἡ τῶν ἀφανῶν
ἀμεταλήπτων πραγμάτων ἐξ ἐπινοίας τινὸς ἀμυδρὰ
ἔλλαμψις: Διάνοια δέ ἐστι, νοὸς οἰκεία κίνησις, ἡ δι' τί ἡ διάνοια: ὅρος
αὐτοῦ ἐνεργοῦσα· καὶ τὰ πράγματα κρίνουσα:
Τοῦ νοῦ δέ εἰσιν αἵ τε κρίσεις, καὶ αἱ συγκαταθέσεις, τί τὸ ἔργον τοῦ ἡγεμονικοῦ:
καὶ αἱ ἀποφυγαὶ τῶν κακῶν, καὶ ὁρμαί, καὶ αἱ νοή-
σεις τῶν ὄντων, καὶ αἱ ἀρεταί, καὶ ἐπιστῆμαι, καὶ τ

τί μνήμη: τεχνῶν οἱ λόγοι, καὶ τὸ βουλευτικόν· Μνήμη ἐστὶ, φυλα-
κὴ τῶν τηρηθέντων, ἢ διανοηθέντων, ἢ ἐννοηθέντων, ἢ
περὶ δόξης: ἐνεργηθέντων, ἢ ἀκουσθέντων· Δόξα δέ ἐστι συντελεστικὴ
τούτων ὑπάρχουσα, διὰ τῶν αἰσθητηρίων ἀναλαμβα-
νομένη τὰ φαντασθέντα, καὶ διανοηθέντα, καὶ ἐνεργη-
θέντα, καὶ ἀκουσθέντα, καὶ μνημονευθέντα διὰ τῆς
τί λογισμός: τοῦ λογισμοῦ συγκαταθέσεως ἐκπληροῦ· Ἔστι δὲ λογισ-
μὸς, νοῦς μετὰ ὀρθοῦ λόγου περιτιμῶν τὴν σοφίας κριτήριον·
τί ἔννοια· ὅρος: Ἔννοια δέ ἐστι, φύσις ἐπινοητικὴ, καὶ ἀποτελεστικὴ πάντων
περὶ νοῦ: τῶν ὄντων, τεχνῶν τε, καὶ ἐπιστημῶν· Νοῦς δὲ παρὰ
τὸ νέεσθαι ὅπερ ἐστὶ δηλονότι κινούμενος, καὶ ἀπὸ
παντὸς περὶ ὧν ἐνθυμεῖν πραγμάτων· τί γὰρ ὁρμητι-
Ὅμηρος: κώτερον τοῦ νοῦ; καθὼς ὁ Ὅμηρος φησὶν, ὡς δ' ὅτ' ἂν ἀΐξῃ
νόος ἀνέρος· καὶ ἀλλαχοῦ, ὡς πτερὸν ἠὲ νόημα·
περὶ τοῦ πῶς γεννᾶται ὁ λόγος: Ἐκ τοῦ νοὸς δὲ καὶ ὁ λόγος γεννᾶται, καὶ φωναῖς τυποῦται,
καὶ γράμμασιν ὥσπερ σωματοῦται· ὁ γὰρ λόγος ὃν
ἐκφέρομεν ἀπὸ γλώσσης, καὶ χειλέων, γέννημά
ἐστι τοῦ νοῦ· γεννᾶται δὲ, οὐ κόψα, οὐ πάθα, οὐ πόνῳ,
οὐ διαιρέσει·— Ἔστι δὲ ἀσώματος, ἀόρατος, ἀνα-
ὅτι ἀσώματος καὶ ἀναφὴς ὁ λόγος: τικτος, ἀκοῇ μόνῃ παραδεχόμενος, οὐδεὶς εἶδεν ὄντα
τὸν νοῦν ἢ λόγον, οὐδεὶς κατέσχε χειρὶ, ἀλλ' ἔστιν ἀσώματος,

καὶ ἀκράτητος φύσις, ὑπὸ μιᾶς αἰσθήσεως κρα-
τούμενος τῆς ἀκοῆς, καὶ οὐκ ἐκτάνασα χεῖρας ἡ ἀκοὴ
κατέχει αὐτόν, ἀλλ' αὐτὸς ὅλως ἀσπασθεὶς κρατεῖται,
καὶ οὐ μερίζεται τοῦ νοῦ γεννήσαντος αὐτόν, οὐκ ἀ-
ποσχίζεται, οὐ χωρίζεται, ἀλλὰ τοὺς πάντας πληροῖ
τοὺς ἀκούοντας αὐτόν, καὶ τοῦ γεννήσαντος αὐτὸν οὐκ ἀ-
φίσταται νοῦ· ἀπὸ δὲ τοῦ λόγου καταλαμβάνεται ὅτι ἀπὸ τοῦ λόγου καταλαμβάνεται
ἡ διάνοια, καὶ ἡ βουλὴ τῆς ψυχῆς· διό φησιν ὁ μέγας ἡ διάνοια, καὶ ἡ βουλὴ τῆς ψυχῆς:
Βασίλειος Βασίλειος, τοῦ λόγου τὴν χρῆσιν δέδωκεν ἡμῖν ὁ θεὸς
ὁ κτίσας ἡμᾶς, ἵνα τὰς βουλὰς τῶν καρδιῶν ἀλλή-
λοις ἀποκαλύπτωμεν, καὶ διὰ τὸ κοινωνικὸν τῆς φύ-
σεως ἕκαστος τῷ πλησίον μεταδιδῶμεν, ὥσπερ ἐκ
τινων ταμιείων τῶν τῆς καρδίας κρυπτῶν προφέρον-
τες τὰ βουλεύματα· Εἰ μὲν γὰρ γυμνῇ τῇ ψυχῇ διε- ὅρα εἰ ζῶμεν
ζῶμεν, αὐτόθεν ἂν ἀπὸ τῶν νοημάτων ἀλλήλοις συνεγι- γυμνῇ τῇ ψυχῇ·
νόμεθα· ἐπεὶ δὲ ὑπὸ παραπετάσματι τῇ σαρκὶ
καλυπτομένη ἡμῶν ἡ ψυχή, τὰς ἐννοίας ἐργάζεται,
ῥημάτων δεῖται, καὶ ὀνομάτων πρὸς τὸ δημοσιεύειν τὰ
ἐν τῷ βάθει κείμενα· πλὴν πρότερον ἀπὸ τῶν πραγ-
μάτων τύπος ἐγγίνεται τῇ νοήσει· ἔπειτα μετὰ τὸ φαν-
τασιωθῆναι ἀπὸ τῶν ὑποκειμένων ταῖς οἰκείαις, καὶ τοῖς

φυσθὲν ἐκάστου σημασίας ἐκλεξάμενος ὁ νοῦς ἐξαγγέ-
λει. εἶτα τῇ ὑπηρεσίᾳ τῶν φωνητικῶν ὀργάνων παραδι-
δοὺς τὰ διανοηθέντα, οὕτως διὰ τῆς τοῦ ἀέρος τυπώσεως
κατὰ τὴν ἔναρθρον τῆς φωνῆς κίνησιν, τὸ ἐν τῷ κρυπτῷ
νόημα σαφηνίζει, καὶ τοῦτο ἐν τῇ φύσει τοῦ λογικοῦ ζώου,
τὸ διὰ λόγου ἐκκαλύπτειν προφερομένου τὰ τῆς ψυ-
χῆς ἀπόκρυφα:· Καὶ γὰρ νοερὰ τῶν ἀγγέλων οὐσία
ἐξ αὐτῶν τῶν νοημάτων ἀλλήλοις συγγίνεται· αὐτὸν
δὲ τὸν λόγον τὸν ἀντὶ νοῦ τινὲς ἄγγελον ὁρίσαντο νοήματος.
Λέγεται μέν, ὁ μὲν, ἐνδιάθετος· ὁ δὲ, προφορικός.
καὶ ἐνδιάθετος μέν ἐστιν, ὁ ἐν καρδίᾳ λαλούμενος.
ὁ δὲ τῇ προφορᾷ, καὶ χρήσει, ῥεῖ μετὰ ἀπὸ διανοίας
ἐκπεμπόμενος τῇ φωνῇ: Φωνὴ δὲ, οὐ πᾶσα λό-
γος λέγεται, ἀλλὰ πᾶν ὃ ψόφον δι' ἀκοῆς ἐμποιεῖ:·
Ἐπεὶ γὰρ τῆς ἡμετέρας ψυχῆς διτταί φασιν αἱ ἐνέργειαι·
αἱ μὲν γνωστικαί, οἷον, νοῦς, δόξα, φαντασία, αἴσθη-
σις, καὶ διάνοια, καθὼς προείπομεν: αἱ δὲ ζωτικαὶ,
καὶ ὀρεκτικαὶ· οἷον, βουλήσεις, θυμός, ἐπιθυμία,
περὶ ὧν μετέπειτα ἐνσημανοῦμεν. Τὰς τοῦ νοὸς ἐνερ-
γείας πάσας ἔφησαν γίνεσθαι. Τινὲς κατὰ τὰς ἐν τῇ κε-
φαλῇ τοῦ ἐγκεφάλου κοιλίας, ἤγουν τὰς ἐμπρο-

πῶς σαφηνίζει τὸ νόημα διὰ τοῦ ἀέρος:+

πῶς νοοῦσιν οἱ ἄγγελοι:

περὶ λόγου ἐνδιαθέτου καὶ προφορικοῦ:

περὶ φωνῆς:

ὅτι διτταὶ αἱ τῆς ψυχῆς ἐνέργειαι:+

σθήσεως, καὶ ὁ ἐπὶ σθήσεως, καὶ μέσας ποιότητας διανε-
μουσι, διὰ τὸ εὐνοσήμασί τισι, τοῖς κατὰ παρὰ περιττ-
ὴν γινομένοις, ταύτας ἀπόλλυσθαι. ποτὲ μὲν γὰρ
ὁμοῦ τὸ φανταστικὸν, καὶ τὸ διανοητικὸν, καὶ μνη-
μονευτικὸν, καὶ τὸ λογιστικὸν αὐτῶν παραφθαρέντ[ων]
οἱ φρενιτιάσαντες, ἢ παρακοπὴν πάσχουσιν. ποτὲ
δὲ καὶ καθ' ἕκαστον τούτων. πλὴν ἄλλο μὲν νοσεῖ ἐπὶ
τῶν κατὰ φύσιν διακειμένων αὐτῶν, τὸ οἰκεῖον τῆς φρο-
νήσεως, ἔργῳ, ἢ λόγῳ ἐνεργῆσαν. ἐπεὶ δὲ τῶν αἰσθη- ἐν τίνι ἀνεργὰ ὁ νοῦς:+
τικῶς διακειμένων αὐτοῦ μορίων μὴ δυναμένων δέ-
ξασθαι τὴν φυσικὴν αὐτοῦ δύναμιν, ἢ κίνησιν, ἀ-
πέρατος καὶ ἀνενέργητος ἔμεινεν. ἐπεὶ καὶ μουσι- ἐν τίνι ἀπορά κεῖμενα:+ πραγματεία.
κὸς ἐμπειρίας δεῖξαι τὴν ἐπιστήμην ἀδυνατεῖ, εἰ ὅσ-
α τῷ χρόνῳ διαφθαρέντα, ἢ περιερριμμένα ἢ
καταπτώσεως τῆς τεχνικῆς αὐτοῦ πράξεως
ὄργανα. οὐ μόνον δὲ τὰς ψυχικὰς δυνάμεις ἐπιστα- ἡ καὶ ζωτική, ἡ φυσική
ταν αὐτὸν οἴδαμεν, ἀλλὰ καὶ διὰ τῶν ε΄ αἰσθήσεων ὅρα πῶς ὁ νοῦς ἐνεργεῖ διὰ τῶν ε΄ αἰσθήσεων:+
ἐνεργεῖσθαι γινώσκομεν. ταῖς γὰρ αἰσθητικαῖς δυ-
νάμεσιν ἑαυτὸν καταμερίζων, καὶ ταλλήλως διὰ
πάσης τὴν τῶν ὄντων γνῶσιν ἀναλαμβάνει. οὕτως
γὰρ θεωρεῖ διὰ τῶν ὀφθαλμῶν τὸ φαινόμενον, καὶ

σκιάσει διὰ τῆς ἀκοῆς τὸ λεγόμενον. καὶ διὰ τῆς γλώσ-
σης διακρίνει τῶν γευστικῶν τὰς ποιότητας, καὶ διὰ τῆς
ὀσφρήσεως, δοκιμάζει τὰς διαφορὰς τῶν ἀτμῶν.
καὶ τῇ χειρὶ χρῆται πρὸς ὃ βούλεται τῇ τοῦ ὀργάνου
συνεργείᾳ αὐτὸ αὐτῷ χρώμενος. ὁ γὰρ περιεκτικὸς
τοῦ ἐγκεφάλου ὑμὴν διὰ τῶν αἰσθητικῶν ὀργάνων ἐξ αὐτοῦ
κινουμένων τῇ ὁράσει, καὶ ὀσφρήσει, καὶ ἀκοῇ, καὶ
γεύσει ἐφαρμοζόμενος φυσικῶς διὰ τοῦ ψυχικοῦ πνεύματος
τὰς αἰσθήσεις ἀντιλαμβάνεται.

ὅρα περὶ τῶν ἐγκεφαλικῶν αἰσθήσεων· ὁ περιεκτικὸς τοῦ ἐγκεφάλου ὑμήν:—

Τὰς δὲ ζωτικὰς δυνάμεις ἐκ καρδίας ὁρμᾶσθαι ἐμάθο-
μεν, καὶ γὰρ τοῦ ἐν αὐτῇ ἐμφύτου θερμοῦ τὴν ἀρχικὴν τὴν
ὁρμήν, ὃ καὶ ζωτικὸν τόνον τινὲς ὀνόμασαν, ἡ ψυχὴ ὡς
ὀργάνῳ χρωμένη, πᾶσαν ἑαυτῆς ἐνέργειαν ἐπιτελεῖ.
τὸ γὰρ ἐκεῖθεν πηγάζον ζωτικὸν πνεῦμα, χορηγούμενον ἐ-
πὶ τὸν ἐγκέφαλον, καὶ δι᾽ αὐτοῦ ἐπὶ τὰ αἰσθητήρια, καὶ
ἐπὶ πανταχοῦ τοῦ σώματος διοικοῦν τὰ νεῦρα, ζῶντες,
καὶ ἐνεργοῦντες δεικνύμεθα. Ἐκ καρδίας γὰρ
ἡ σφυγμικὴ ὁρμᾶται κίνησις· οὐ γὰρ ἄλλος σφυγμός
ἐστιν, ἢ κίνησις καρδίας, καὶ ἀρτηριῶν, ὑπὸ ζωτικῆς
δυνάμεως φυσικῶς κινουμένη, κατὰ διαστολήν, καὶ
συστολὴν τοῦ πνεύματος πρὸς ἐκφόρησιν τῶν λιγνυωδῶν

περὶ τῆς ζωτικῆς δυνάμεως, καὶ ζωτικοῦ πνεύματος:—

ὅτι τὸ ζωτικὸν πνεῦμα ἐκ τῆς καρδίας χορηγεῖται ἐν τῷ ἐγκεφάλῳ:—

πόθεν ὁρμᾶται ἡ σφυγμικὴ κίνησις. ὅρος σφυγμοῦ.

περιττωμάτων, καὶ ἀντλοῦσα γοῦν τοῦ καθαροῦ ἀέρος
πρὸς τὸ ἐμπίζεσθαι, καὶ ἀναζωπυρεῖν τὸ ζωτικὸν
τόνον, ὅ ἐστι τὸ ἔμφυτον θερμὸν τὸ ἐν τῇ καρδίᾳ·
Ἐξ ἥπατος δὲ αἱ φυσικαὶ δυνάμεις ὁρμῶνται, καὶ
γὰρ διὰ τῆς ἐργασίας αὐτοῦ τρέφεται ἡμῶν ἅπαν
τὸ σῶμα· καὶ αὐξανόμεθα, καὶ πάλιν τροφῆς ὀρε-
γόμεθα, πέψει, ἀναδόσει, καὶ ἐξαιματώσει, καὶ
προσθέσει, καὶ διακρίσει, καὶ ἀποκρίσει· Αἱ γὰρ
τρεῖς αὗται δυνάμεις, ἡ ἐκ καρδίας, ἡ ἐξ ἥπα-
τος, ἡ ἐξ ἐγκεφάλου, πᾶσαν ἡμῶν διοικοῦσι ζωήν,
διὸ καὶ τῆς ψυχῆς μέρη τινὲς ὁρίσαντο εἶναι ταῦτα:
ὁ γὰρ περὶ μερῶν τῆς ψυχῆς τῶν σοφῶν τις ἐναγωνισθεὶς
βυθῷ καταποντίζεσθαι εὔχεται· καὶ θαυμαστὸν
πῶς τριμερὴς ἡ ἀσώματος, πλὴν ἐνέργειαι κινητοῦ·
ἤτοι μὲν δυνάμεις τῆς ψυχῆς εἰσί· τὸ θυμικόν· τὸ ἐπι-
θυμητικόν· καὶ τὸ λογικόν· Ὁρμῶνται δέ, τὸ θυμι-
κὸν μέν, ἐκ καρδίας· τὸ ἐπιθυμητικόν, ἐξ ἥπατος·
καὶ τὸ λογικόν, ἐξ ἐγκεφάλου· καὶ ἐκ μὲν τοῦ θυμι-
κοῦ, ὁ θυμὸς γεννᾶται· ἐπειδὴ θυμός, ζέσις τοῦ
περικαρδίου αἵματος πρὸς ὄρεξιν ἀντιλυπήσεως
τῶν προξενούντων κινούμενος· παράγεται δὲ παρὰ-

τὸ ἀναζωπυρεῖν τὸ ζωτικὸν πνεῦμα:

ὅτι ἐξ ἥπατος αἱ φυσικαὶ δυνάμεις, ὑφ' ὧν διὰ τῆς ἐργασίας αὐτῶν τρεφόμεθα:

ἐκ τῶν τριῶν τούτων ἡ ζωὴ ἡμῶν:

ὅρα ὅτι περὶ μερῶν τῆς ψυχῆς, καὶ πόθεν ὁρμῶνται:

πόθεν γεννᾶται ὁ θυμὸς [illegible]

πόθεν θυμός

περὶ θυμικῆς ἢ ἐπιθυμίας:

ὅρος ἐπιθυμίας

περὶ ὁ λογισμὸς ὁρμᾶται, τί ἐστι:

περὶ ὧν ὁ νοῦς λέγεται, ἢ πράττει:

ἀρεταὶ τοῦ θυμικοῦ:

κακίαι: ὀργή· μανίαι, δειλίαι, ἡ ἀνανδρία:

ἀρεταὶ τοῦ ἐπιθυμητικοῦ:

κακίαι:

ἀρεταὶ τοῦ λογικοῦ:

κακίαι:

τὸ θύω τὸ ὁρμῶ, θυμὸς ζέσων, ἢ ὁ θύων αἵματι κι-
νούμενος, ὁρμώμενος ὑπὸ αἵματος: Κινεῖ δὲ τοῦ ἐ-
πιθυμητικοῦ, ἡ ἐπιθυμία κινεῖται: ἔστι δὲ ἡ ἐπιθυ-
μία, πάντως ἡ ἐπιτυχοῦ πρὸς τὴν ὁρμή, πρὸς τί τῶν φι-
λουμένων. Ἐκ τοῦ λογιστικοῦ δὲ ὁ λογισμὸς ἐκφορ-
μᾶται: Λογισμὸς ἐστί, τὸ πρῶτον ἐννοίας ἀνακλ θόμ
νόημα. ἢ ἀόριστος κίνησις, καὶ ταραχὴ πραγ-
μάτων, ἢ αἰσθητῶν πραγμάτων συνισταμένη
κατὰ διάνοιαν ἁπλῶν, μεθ' ἧς ὁ νοῦς κινούμενος,
λέγεται, ἢ πράττει, φανερῶς, ἢ κρυπτῶς, τὰ
τοῦ μορφούμενα ὑπ' αὐτοῦ: Καὶ τοῦ μὲν θυμικοῦ,
ἀρεταὶ ὑπομονή· ἐγκράτεια, καὶ ἀνδρεία:·
Τοῦ δὲ ἐπιθυμητικοῦ· ἀρεταὶ μέν, σωφροσύνη·
καὶ ὄρεξις τῶν ἀθανάτων ἀγαθῶν, καὶ ἀγάπη
θεοῦ, καὶ τοῦ πλησίον: Κακίαι δέ· ἀσέλγειαι, καὶ
ἀκολασίαι, καὶ γηΐνων πραγμάτων ἡδονῶν ἐπι-
θυμίαι: Τοῦ λογικοῦ μέν, ἀρεταί, σύνεσις, εὐ-
σέβεια, καὶ φόβος θεοῦ: Κακίαι δέ, πανουργίαι,
καὶ δολιότης, καὶ ἀφοβία θεοῦ: Ὅτε γὰρ ἐποίησεν
ὁ θεὸς τὸν ἄνθρωπον κατασκεύαζεν, τὰ πάθη αὐτῷ, καὶ
τὰ ἤθη προσεμφύτευσεν. μᾶλλον δὲ δημιουργικὸν αὐτοῖς τῶν

ἀμφοτέρων τε ποίησεν, καὶ διὰ τῶν αἰσθητικῶν περι-
ἀντε θεωρητικὸν τὸν λόγον μόνα νοῶν· καὶ τούτῳ νόμον
ἔδωκεν τὸ αὐτεξούσιον, καὶ θεὸν πολιτευσάμενος, περὶ τοῦ αὐτεξουσίου:
βασιλεύσας βασιλείαν σωφροσύνης τε, καὶ δικαίαν·
καὶ ἀγαθήν, καὶ ἀνδρείαν, αἳ τὸ κρεῖττον ἔχουσι, ἵνα τὴν
σφῶν σοὶ τὸ ἀγαθὸν οὐχ ἧττον, ἢ τοῦ παρ' ἀρχὴν θεοῦ
τὰ πράγματα. σοφία τοῦτο μείζονος γνώσεως καὶ σημείωσαι
ἐν γὰρ τῇ ἀρετῇ, καὶ τὸ ἐφ' ἡμῖν ἀνεμπόδιστον. ἡ
ἡ σοφία τοῦ θεοῦ καταφανὴ ἅπαντι θεῖσα ἐν ἡμῖν ἐστίν.
ἡ δὲ σοφία ἀΐδιός ἐστι· ἄπειρ καὶ γενικὰς τέσσαρας ὀνό- περὶ ἀϊδιότητος σοφίας:
μασαν ἀρετάς· φρόνησις, δικαιοσύνη, ἀνδρεία,
καὶ σωφροσύνη, κυριωτάτη δὲ πασῶν, ἡ φρόνη-
σις, ἐξ ἧς τῶν παθῶν ὁ λογισμὸς κρατεῖ: σοφία τί ἐστι σοφία.
τοίνυν ἐστί, γνῶσις θείων τε, καὶ ἀνθρωπίνων πραγμάτων:
σωφροσύνη δέ ἐστιν, ἐπικράτεια τῶν παθῶν, καὶ ἐπι- τί ἐστι σωφροσύνη:
θυμιῶν, ἢ οὕτως, σωφροσύνη ἐστίν, ἀρετὴ τοῦ
ἐπιθυμητικοῦ, καθ' ἣν καὶ τὸ ἐχόμενον τοῦ λογισμοῦ
τὴν ἐπιθυμίαν ὁρμῶσαν ἐπὶ φαύλας ἡδονάς:
τῶν δὲ ἐπιθυμιῶν, αἱ μὲν ἢ ψυχικαί, αἱ δὲ σωματι- διαίρεσις ἐπιθυμιῶν:
καί· καὶ ἀμφοτέρων ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται.
ὅρος λογισμός, τῶν μὲν ἀρετῶν ἐστιν ἡγεμών, τῶν δὲ ὅρος περὶ λογισμοῦ:

παθῶν αὐτοκράτωρ. οὐχ ὥστε αὐτὰ καταλῦσαι, ἀλλ' ὥστε αὐτοῖς μὴ εἶξαι, οἷον ἐπιθυμίαν τις οὐ δύναται ἐκκόψαι ἡμῶν, ἀλλὰ τὸ μὴ δουλωθῆναι τῇ ἐπιθυμίᾳ δύναται ὁ λογισμὸς παρασχέσθαι· ὁμοίως, θυμὸν τις ἐκκόψαι ἡμῶν τῆς ψυχῆς δύναται, ἀλλὰ τὸ μὴ δουλωθῆναι τῷ θυμῷ δύναται τῷ λογισμῷ βοηθῆσαι, οὐ γὰρ ἐκριζωτής τῶν παθῶν ὁ λογισμός ἐστιν, ἀλλ' ἀνταγωνιστής:—

παθῶν φύσ(εις)

Παθῶν δὲ φύσεις εἰσὶν αἱ περιεκτικώταται δύο, ἡδονή τε, καὶ λύπη· τούτων δὲ ἑκάτερον, καὶ περὶ τὸ σῶμα, καὶ περὶ τὴν ψυχὴν πέφυκεν· ἀκολουθίαι δὲ παθῶν πολλαὶ περὶ τὰ ἀμφότερα, πρὸ μὲν οὖν τῆς ἡδονῆς ἐστὶν ἐπιθυμία, ἐκ τῆς ἡδονῆς κινουμένη· μετὰ δὲ τὴν ἡδονήν, χαρά, ἢ λύπη συνίσταται· ἃ μὲν γὰρ ἀγαθὰ τὰ τῆς ἡδονῆς τέλη, χαρά, ἃ δὲ φαῦλα, λύπη· πρὸ μὲν τοῦ πόνου, φόβος, μετὰ δὲ τὸν πόνον λύπη ἕπεται· ὁ δὲ θυμός, κοινὸν πάθος ἐστὶν ἡδονῆς, καὶ λύπης· ὅτι δὲ τὰ τέλη τῆς ἡδονῆς ἀμφότερα συνιστᾷ, χαράν τε, καὶ λύπην, οὐδ' ὁ τυχὼν ἀγνοεῖ· καὶ γὰρ τὰ βρέφη μαστοῦ μητρικοῦ ἐπιθυμήσαντα ἅπτωνται, καὶ μετὰ περιχαρείας ἀσπάζονται τοῦτον

ὅρα περὶ ἐπιθυμίας, ἡδονῆς, χαρᾶς, ἢ λύπης

ὅτι ὁ θυμὸς κοινὸν πάθος

ἰδόντα· καὶ ἀφαιρεθέντων δέ τινος τῶν παιδικῶν ἐμποιούντων λυπεῖται· τῶν δὲ ἡδονῶν, αἱ μέν εἰσι ψυχικαί, αἱ δὲ σωματικαί· ψυχικαὶ μέν, αἱ τῆς ψυχῆς αὐτῆς καθ' ἑαυτήν, ὅσαι περὶ τὰ μαθήματα, καὶ τὴν θεωρίαν· σωματικαὶ αἱ μετὰ κοινωνίας τοῦ σώματος, καὶ τῆς ψυχῆς γινόμεναι, ὅσαι περὶ τὰς τροφάς, καὶ τὰς συνουσίας· μόνου δὲ τοῦ σώματος, οὐκ ἂν εὕροι τις ἡδονάς· ἔτι τῶν ἡδονῶν, αἱ μὲν ψευδεῖς εἰσίν, αἱ δὲ ἀληθεῖς κατὰ Πλάτωνα, ψευδεῖς μὲν ὅσαι μετὰ αἰσθήσεως γίνονται, καὶ δόξης οὐκ ἀληθοῦς, καὶ λύπας ἔχουσι συμπεπλεγμένας· ἀληθεῖς δέ, ὅσαι τῆς ψυχῆς εἰσὶ μόνης, μετ' ἐπιστήμης, καὶ νοῦ, καὶ φρονήσεως, καθαραὶ καὶ ἀνεπίμικτοι λύπης· τῶν δὲ σωματικῶν ἡδονῶν, αἱ μέν εἰσιν ἀναγκαῖαι, ἅμα καὶ φυσικαί, ὧν χωρὶς ζῆν ἀδύνατον, ὡς αἱ τροφαί, καὶ τὰ ἐνδύματα· αἱ δὲ φυσικαὶ μέν, οὐκ ἀναγκαῖαι δέ, ὡς αἱ κατὰ νόμον, καὶ αἱ κατὰ φύσιν μίξεις, δυνατὸν γὰρ καὶ χωρὶς αὐτῶν ζῆν· αἱ δὲ οὔτε φυσικαί, οὔτε ἀναγκαῖαι, ἀλλὰ περιτταί, ὡς ἡ μέθη, καὶ ἡ λαγνεία, καὶ ἡ φιλαργυρία· αὗται γὰρ καὶ πρὸς βλάβην τοῦ,

διαίρεσις ἡδονῶν·

ὅτι τῶν ἡδονῶν αἱ μὲν ψευδεῖς, αἱ δὲ ἀληθεῖς κατὰ Πλάτωνα:

καὶ διὰ τοῦτο, καὶ τελειοῦται:—

ἡδοναὶ τῆς ψυχῆς:

Ἡδονὴ δὲ ζ' καὶ ἡ κακοῦ ἡ διάθεσις πολυτροπωτάτη πάντων οὖσα τῶν παθῶν, καὶ τὰ μὲν τῆς ψυχῆς πάθη, ἀλαζονία, φιλαργυρία, φιλοδοξία, φιλαρχία, φιλονικία, καὶ βασκανία. τὰ δὲ τοῦ σώματος πολυφαγία, λαιμαργία, μονοφαγία. καὶ ὡς περὶ τῶν γενικωτάτων ἀρετῶν, φρονήσεως, καὶ δικαιοσύνης, ἀνδρείας καὶ σωφροσύνης, πολλαί εἰσιν αἱ παραφυάδες αἱ ἐπαινούμεναι. ἡ γὰρ εὐσέβεια, καὶ εὐβουλία, καὶ καρτερία, μακροθυμία τε, ταπεινοφροσύνη, πρᾳότης, καὶ εὐεργεσία, φιλοκαλία, εὐταξία, κοσμιότης, ἐγκράτεια, καὶ αἰδώς, καὶ ἄλλαι μυρίαι παρὰ ταύτας:

παραφυάδες τῶν γενικωτάτων ἀρετῶν:

Οὕτως καὶ τῶν περιεκτικῶν παθῶν, ἡδονῆς τε, καὶ πόνου, ἡ ὀργὴ καὶ ὁ θόρυβος, ἡ μῆνις, καὶ ἡ ἀφροσύνη. ἡ ἀκολασία, ἡ ἀβουλία. ἡ ὑπερηφανία. ἡ ἀλαζονία, ἔρις, μῖσος, ζῆλος, λύπη, λοιδορία, καὶ μικροψυχία, ἕτεραι ἄλλαι πλείονες ἐπικλονούμεναι, καὶ ἐπισχιζόμεναι τῷ φόρῳ παθῶν συνιστῶσιν, ὡς ἤκασεν ὁ παγκόσμιος λογισμὸς περικαθαίρει, καὶ ἀποκνίζων, καὶ παραπλέκων, καὶ ἐπάρδων, καὶ πάντα τρόπον μετοχετεύων ἐξ ἡμέρου τὰ τῶν ἠθῶν,

παραφυάδες τῶν περιεκτικῶν παθῶν:

ὅρα ἡ τρία ἀγαθὸς χορηγός

καὶ παθῶν ὕλας· ὁ γὰρ λογισμὸς καθὼς εἴρηται, τῶν μὲν ἀρετῶν, ἡγεμών ἐστι· τῶν δὲ παθῶν, αὐτοκράτωρ, λήθης δὲ, καὶ ἀγνοίας, οὔπω δεσπόζει· οὐ γὰρ τῶν αὐτοῦ παθῶν ὁ λογισμὸς ἐπικρατεῖ· ἀλλὰ τῶν τῆς δικαιοσύνης, καὶ σωφροσύνης, καὶ ἀνδρείας, καὶ φρονήσεως ἐναντίων, οὐχ ὥστε αὐτὰ κωλῦσαι τοῦ μὴ γενέσθαι, ἀλλ' ὥστε αὐτοῖς μὴ ὑποταγῆναι: ὅρα τί ἡγεμονικὸν λογισμοῦ:

λήθη δὲ, καὶ ἄγνοια, τοῦ λογιστικοῦ εἰσὶ πάθη, τῆς γὰρ κατὰ γνῶσιν ἐνεργείας ἀναιρουμένης, συνίσταται ταῦτα. Ἐπαναλαμβάνεται καὶ πάλιν ἡ διὰ μνήμης, καὶ ἀναμνήσεως:– (η) ἢ ἐπαναλαμβάνεται δὲ πάλιν ἡ μνήμη δι' ἀναμνήσεως.

Ἔστι δὲ μνήμη, ὡς μὲν Ἀριστοτέλης, δόξα ἢ φαντασία ἐγκαταλελειμμένη, ἀπό τινος αἰσθήσεως τῆς κατ' ἐνέργειαν φαινομένης: ὅρα τί ἐστι μνήμη κατ' Ἀριστοτέλην: ὡς δὲ Πλάτων φησὶν, σωτηρία αἰσθήσεως, καὶ νοήσεως: κατὰ Πλάτωνα: ἡ γὰρ ψυχὴ τῶν μὲν αἰσθητῶν διὰ τῶν αἰσθητηρίων ἀντιλαμβάνεται καὶ γίνεται δόξα: τῶν δὲ νοητῶν, διὰ τοῦ νοῦ, καὶ γίνεται νόησις: ὅρα πῶς γίνεται δόξα, καὶ πῶς νόησις· καὶ τὸ μνημονεύειν: ὅταν οὖν τοὺς τύπους ὧν τε ἐδόξασεν, ὧν τε ἐνόησε διασώζῃ, μνημονεύειν λέγεται: ἀνάμνησις δέ ἐστι, μνήμης ἐκλειπούσης γινομένη ἀνάκτησις· γίνεται δὲ ἔκλειψις ὑπὸ τῆς λήθης: τί ἐστιν ἀνάμνησις, καὶ πῶς γίνεται ἔκλειψις τῆς μνήμης: λήθη δέ ἐστι,

μηδὲ μικρὰ ἀποβολή· ἀλλ' ἡ μὲν δὴ κινουμένη, ἡ δὲ ἐπὶ πό-
σον, ἕως ἂν ἡ ἀνάμνησις ἔργον· αἴτιον δὲ γένεσις
τῶν προειρημένων παθῶν τῶν ἀπὸ τῆς ἡδονῆς, καὶ τοῦ πό-
νου, καὶ μέντοι καὶ τῶν αὖθις ἐναντίων, τοῦτ' ἔστι τῶν ἀρε-
τῶν, ἐκ τοῦ τριμεροῦς γὰρ τῆς ψυχῆς, καὶ τοῦ ἐφ' ἡμῖν·
περὶ γὰρ ταῦτα καὶ αἱ γενέσεις καὶ ἀρεταὶ διανέμονται.

ποῦ ἡ φρόνησις θεωρεῖται·

Ἐν τῷ λογιστικῷ γάρ ἐστιν ἡ φρόνησις· ἐν τῷ ἐπιθυ-
μητικῷ, ἡ σωφροσύνη· ἐν τῷ θυμικῷ, ἡ ἀνδρεία·

ποῦ ἡ σωφροσύνη· ποῦ ἡ ἀνδρεία· ποῦ ἡ δικαιοσύνη·

ἡ δὲ δικαιοσύνη ἐν ταῖς τρισὶ διανέμεται, τοῦ ἐφ' ἡ-
μῖν ἐνεργοῦντος. εἰ μὴ γὰρ τὸν τοῦ δικαίου τρόπον φυ-
λάξαι τις προαιρήσεται, οὐ σωφρονεῖν, οὐκ ἀνδρεί-
ζεσθαι κατὰ τῶν παθῶν, οὐ καλῶς ἐπιθυμεῖν ἐθε-
λήσει· τὸ δὲ προαιρεῖσθαι κατὰ τῶν παθῶν, ἢ θέ-

τὸ ἐφ' ἡμῖν·

λειν, τοῦ ἐφ' ἡμῖν ἐστιν, ἐφ' ἡμῖν γάρ ἐστι τὸ δίκαιος εἶναι,
ἢ ἄδικος· σπουδαῖος, ἢ ἀμαθής· σοφὸς, ἢ
ἄφρονας· τὸ γὰρ μελετᾶν, ἢ ἐπιτηδεύεσθαι
παρὰ πᾶσιν ὁμολογεῖται, ὅτι ἐφ' ἡμῖν ἐστιν. οὐχ ὡς ἕξεις,

ὅτι αἱ μελέται κύριαι τῶν ἕξεων· καὶ ἐπὶ ἔθους·

ἀλλ' ὡς κύριαι τῶν ἕξεων, αἱ γὰρ μελέται, κύριαι τῶν
ἕξεων· τὸ δὲ ἔθος, φύσις ἐπίκτητος· ἡ δὲ κυρία
τῆς ἕξεως ἐστὶν ἡ μελέτη, ἐφ' ἡμῖν δὲ ἡ μελέτη, ἐ-
φ' ἡμῖν καὶ ἡ ἕξις· ὧν δὲ ἐφ' ἡμῖν αἱ ἕξεις, τούτων ἐ-

3

φύσει μὲν καὶ αἱ πράξεις αἱ κατὰ τὰς ἕξεις, ταῖς γὰρ ἕξε-
σιν, αἱ πράξεις προσφέρει. ὁ ἄρα δικαίαν ἕξιν ἔ-
χων, δίκαια πράξει. ὁμοίως καὶ ἄδικον, τὸ ἀνάπα-
λιν: Τῶν γὰρ ἐπ' ἴσης ἐνδεχομένων, ἡμεῖς κύριοι τοῦ — τί τὸ ἐπ' ἴσης ἐνδεχόμενον:
ἐνεργεῖν. Τὸ ἐπ' ἴσης δὲ ἐνδεχόμενον ὃ αὐτὸ δυνάμε-
θα ποιεῖν, καὶ τὸ ἀντικείμενον αὐτῷ. Τούτου δὲ
πάλιν τὴν αἵρεσιν ὁ νοῦς, ὁ ἡμέτερος. οὗτος γάρ ἐστιν
ἀρχὴ πράξεων. καὶ βουλὴ δὲ τῶν ἐφ' ἡμῖν ἐστιν ὥσπερ
καὶ ἡ προαίρεσις: Ὁρίζονται γὰρ τὴν προαίρεσιν, ὄρε- — ὅρος προαιρέσεως
ξιν βουλευτικὴν τῶν ἐφ' ἡμῖν. καὶ ταῦτα μὲν περὶ τού-
του μετρίως, ὅσον μαθεῖν ἐξ ὀλίγου, πόθεν ἡ τούτων ὁρ-
μή:~ Αἱ δὲ φύσεις καὶ δυνάμεις καὶ ζωαὶ καὶ ψυχαὶ
καὶ ἐκ τούτων τῶν πρώτων ἀφορμῶνται. ἐν τῇ καρδίᾳ ἄρα ἐ- — περὶ τῶν φύσεων καὶ ζωῆς καὶ δυνάμεων:
στὶ τὸ ἔμφυτον θερμόν. ἐν τῷ ἥπατι γεννᾶται τὸ αἷμα.
καὶ ἐξ ἐγκεφάλου ἡ προαιρετικὴ κίνησις ἐνεργεῖται ὅ-
θεν ἡ μὲν θάλπει τὸ πᾶν τῇ θερμότητι. ὁ δὲ κατάθερμαι-
νόμενον αἷμα δι' ὑπονοτίζει. ὡς ἂν τῇ ἰσοκρασίᾳ τῆς
τῶν ἐναντίων ποιότητος ἐπὶ τὸ μέσον συντηρῇ τὸ
ζῷον. μήτε τοῦ ὑγροῦ καταφερομένου τῷ πλεονασ-
μῷ τῆς θερμότητος, μήτε τοῦ θερμοῦ σβεννυμένου
τῇ ἐπικρατήσει τοῦ καθυγραίνοντος: Ἡ δὲ περὶ τὴ

δύναμις, σπουδάζει αὐτῆς καθ' ἕκαστα συμβολήν τε,
καὶ ἁρμονίαν τὰ διακεκριμένα τῶν ἄρθρων τοῖς πε-
ρὶ αὐτοῖς συνδέσμοις ἁρμόζουσα, καὶ πᾶσιν ἐπι-
τηδείους τὴν αὐτῆς κίνησιν, καὶ σφαιρικὴν δύναμιν.
ἐστιν ἐπιπλατύσκουσα περιτιθεμένη, καὶ νευρώδεσι τοῦ
σώματος σφαιρικοῦ τοὺς ἁρμοσθήσαντας· καὶ γὰρ
ὅρα αἱ ἁρμονίαι τί ... ἢ νεύρου, ἢ σαρκός:— ἀναισθήτων ὄντων φύσει τῶν ὀστῶν, αἰσθητικοὺς αὐτὰ
νεύροις ἡ φύσις περιηρμοσέ τε, καὶ ἥνωσε, μᾶλ-
λον δὲ ὁ δὲ ἀπὸ τῆς τῆς φύσεως καὶ δημιουργός· καὶ
διὰ τῆς περισφίγξεως ἥνωσέ τε, καὶ ἁρμονίας τὰς
συμβολὰς αὐτῶν ἐπισφίγξας διὰ τῶν συνδέσμων,
τὴν δὲ κίνησιν τῶν αἰσθήσεων αὐτοῖς περιεφύλαξε
σάρκα: ἀλλὴν τε διαπαθεστέραν καὶ ἀτονωτέραν
διὰ μυῶν, ἣν καὶ τοῖς συνδέσμοις περὶ τῆς ἐπιφα-
η νείας ἐνάληψεν. εἶτα μετὰ κἀκεῖνο τὸ δέρμα: ταύτῃ
τοίνυν τῇ σφαίρᾳ τῶν ὀστῶν φύσει· οἷον πύλοις τισὶν ἀχ-
θοφόροις ὅλον τοῦ σώματος ἐπιθεῖσα τὸ βάρος, οὐκ ἀ-
διαίρετον ἐνέφυσεν τῷ παντὶ τὸ ὀστοῦν· ἀκίνητος γὰρ
ἂν καὶ ἀνενέργητος ἐμεμενήκει οὕτω κατασκευασθεὶς ὁ ἄνθρωπος
εἶχεν, καθάπερ τὶ δένδρον ἐφ' ἑνὸς τόπου μένον· μὴ
τῆς τῶν σκελῶν διαδοχῆς ἐπὶ τὸ πρόσω διαγούσης

τὴν κίνησιν, μήτε τῆς τῶν χειρῶν ὑπουργίας χρήσι-
μα ὑποῦσι τῷ βίῳ· ἀλλ' ὁ μηρόν, καὶ γόνυ, καὶ ἐπι-
γονατίδα, καὶ σκέλος, καὶ ἀστράγαλον, καὶ δακτύ-
λους τῷ ποδὶ καταμετρήσας, καὶ διὰ τῶν ἐξ ὀστῶν συν-
δεσμῶν πάλιν τεχνικῶς συνδήσας, καὶ συναρμό-
σας μεταβατικὸν εἶναι καὶ πρακτικὸν τὸ ὄργανον τῆς
ψυχῆς διὰ τῆς ἐπινοίας ταύτης ἐμηχανήσατο·
τοῦτο καὶ ἐπὶ τῶν χειρῶν· καὶ αὐτοῦ τοῦ αὐχένος, καὶ
στέρνου, καὶ ῥάχεως, καὶ ἐπὶ πάντων τῶν τοῦ σώμα-
τος μορίων ἀπεργασάμενος τῷ προαιρετικῷ πνεύματι, κατὰ τὴν
φύσεως οἰκονομίαν, ἐν τοῖς καθ' ἕκαστον τῶν ἁρμονιῶν
ἐνεργούμενα· καὶ θαύμασον τεχνικὰ ἴχνη τοῦ δημιουρ-
γοῦ· τὰ μὲν γὰρ τῶν ὀστῶν ἐκοίλανε, τὰ δὲ οὔ· καὶ τὰ
μὲν μεγάλα, τὰ δὲ σμικρὰ ἐποίησε· καὶ τοῖς μὲν
μυελὸν ἐνέπλησε, τοῖς δὲ σκληρὰν τε καὶ στερεὰν φύ-
σιν ἔθηκεν, τοῖς δὲ χαύνην, καὶ ἀσθενῆ· καὶ τοῖς μὲν
ἐπιφύσας κατὰ τὸ πέρας ἔχουσιν, τὰ δὲ αὐχένας, ἢ
τὰ μὲν κινοῦνται, τὰ δὲ σύγκειται· τὰ δὲ συνήρθρωται,
τὰ δὲ διήρθρωται, τὰ δὲ συνήρμοσται, τὰ δὲ συντέθειται·
καὶ τὰ μὲν κατὰ ῥαφήν, τὰ δὲ κατὰ ἁρμονίαν, τὰ
δὲ κατὰ γόμφωσιν· τὰ δὲ κατὰ συγλασμόν, καὶ τὰ

διὰ τί ἐμηχανήσατο τὸ ὄργανον τῆς ψυχ(ῆς) οὕτως

ὅρα δημιουργοῦ ὀστῶν

πῶς ὀνομάζεται ἡ ὅλη σύνταξις τῶν ὀστῶν: Ὅμηρος

μὲν κατὰ σύγχονδρωσιν, τὰ δὲ κατὰ συννεύρωσιν,
τὰ δὲ κατὰ συσσάρκωσιν. ἡ μὲν οὖν ὅλη σύνταξις τῶν ὀ-
στῶν, ὀνομάζεται σκελετός· σκελετὸς δὲ λέγεται, ὅτι ἀπεξη-
ραμμένος ἐστί· καθὼς ὁ Ὅμηρος, ἐν ποσὶ δὲ οἱ αὐαλέος
χρὼς ἐσκληκώς. ἡ δὲ περὶ τούτων ἑκάστου τῆς συν-
θέσεως, ἢ διαρθρώσεως, ἢ ὀνομάτων, παρὰ τῶν ἰα-
τρῶν μάθε· πλὴν ἵνα μὴ ἀσαφῆ σοι καταλειφθῇ τὰ
πολλά, ἴσθι, ὅτι ἡ μὲν ἐγγόμφωσις, συνάρθρωσίς ἐστι

ἐγγόμφωσις:

κατὰ σύμπηξιν, ὡς ἐπὶ τῶν ὀδόντων. ἡ δὲ ῥαφή, σύν-

ῥαφή:

θεσις, ὡς ἐπὶ τῶν τῆς κεφαλῆς ὀστῶν. ὁ δὲ γιγγλυσμός,

γιγγλυσμός:

σύνθεσις, ὡς ἐπὶ τῶν ῥάχεως σπονδύλων, καὶ τῆς τοῦ
πήχεως πρὸς τὸν βραχίονα διαρθρώσεως. τὸ μὲν

ἄρθρον:

ἄρθρον, σύνταξις ὀστῶν φυσική. ἡ δὲ σύμφυσις, ἕνω-

σύμφυσις:

σις ὀστῶν φυσικῶν· καὶ ἡ μὲν ἐπίφυσις, ἕνωσίς ἐστιν

ἐπίφυσις:

ἑτέρου ὀστοῦ κατὰ ἕτερον. ἡ δὲ ἀπόφυσις, τοῦ σύμ-

ἀπόφυσις:

παντος ἐστὶν ὀστοῦ μέρος. ἐστὶ δὲ ὀστοῦν, σῶμα γεῶδες, στε-

τί ἐστιν ὀστοῦν:

ρεόν, καὶ ἀναίσθητον, καὶ ἀντίτυπον, καὶ σκλη-
ρόν, καὶ οἷον ἐπιστήριγμα τῶν λοιπῶν μερῶν τοῦ σώ-
ματος. κινεῖται δὲ ταῦτα πάντα ὑπὸ μυῶν, καὶ νεύρων
ἐξ ἐγκεφάλου τὴν κίνησιν καὶ δύναμιν καὶ ταῦτα δεχομένων.
ῥίζα γὰρ καὶ ἀρχὴ τῆς τούτων κινήσεως, ὁ τὸν ἐγκέφαλον

ὑπὸ τίνων κινεῖται τὰ ὀστᾶ, ἡ ῥίζα, καὶ ἀρχὴ τῆς κινήσεως: –

περιέχων νευρώδης ἐστὶν ὑμήν. εἴρηται δὲ ὑμήν, πα-
ραῖτο ὡς ὕφασμα εἶναι λεπτόν, οὗτινος διακειμένου
καλῶς, πᾶσα ἡ τοῦ σώματος κίνησις ἀνεμποδίστως
ἐπιτελεῖται κατὰ λόγον. καὶ γὰρ ἀκαὶ σκυταλίσ δακτύ-
λου ἐμποδίζει ναῦτο, παρὰ τοῦτο κινεῖται. ἂν δέ τινα
τρῶσιν, ἢ ῥῆξιν ὁ περὶ αὐτὸν ὑμὴν πάθῃ ἐκ προσκρού-
ματος τινὸς τυχόν, ἢ καὶ ἐκ πλήξεως, ᾧ διὸ ἐπηκολου-
θήσει τῷ πάθει ὁ θάνατος. οὐδὲ πρὸς βραχὺ τῆς φύ-
σεως ἀντεχούσης. ἀλλ᾽ ὥσπερ θεμελίου τινὸς ἀποσπασθέν-
τος, ὅλον τὸ οἰκοδόμημα συγκατασπᾶται τῷ μέρει,
οὕτως τῶν περικρανίων μηνίγγων τρωθέντων, ἐν οἷς
ὁ εἰρημένος ὑμὴν ἐφήπλωται, ἡ ψυχὴ τοῦ σώματος
ἀπανίσταται. ταύταις οὖν ταῖς τρισὶ δυνάμεσιν, ἔ-
ξωθεν ἐπισάγεται τὸ κατάλληλον τῆς δυνάμεως,
διὰ μὲν γὰρ τῆς τροφῆς, αὐτοῦ αἵματος πηγαὶ ἐξ ἥπα-
τος φρενοῦ. τὸ δὲ ἐγκάρδιον πνεῦμα, διὰ τοῦ γείτονος ἐπι-
σπᾶται σπλάγχνου, ὃ καλεῖται μὲν πνεύμων. ἐστὶ δὲ
τοῦ ἀέρος δοχεῖον, διὰ τῆς ἐγκειμένης αὐτῷ ἀρτηρίας τῆς
ἐπὶ τὸ στόμα ἀγούσης τὸ ἔξωθεν πνεῦμα ἐν ταῖς ἀναπνοαῖς
ἐφελκόμενον. κατὰ τὸ μέσον δὲ αὐτῷ ἡ καρδία ἔγκει-
ται κειμένη κατὰ μίμησιν τῆς τοῦ ἀρχικοῦ πυρὸς

διὰ τί λέγεται ὑμήν.

ὅτι διὰ τοῦ ὑ-
μένος ἡ κίνησις:-

ἢν ὁ εἰρημένος ὑμὴν
τρωθῇ, ἢ ῥῆξιν πά-
σχῃ, εὐθὺς ἐπα-
κολουθήσει ὁ θά-
νατος:-

ὅρος περὶ σπλάγχ(νων),
ἢ καρδίας, ἢ πνεύ-
μονος:-
ὅτι ὁ πνεύμων ἐστὶ
δοχεῖον ἀέρος:-

περὶ καρδίας:

ὅτι ἀδιαλείπτως κινεῖται ἡ καρδία.

ἐνεργείας, ἀδιαλάπτως καὶ αὐτὴ κινουμένη, ἕλκει
πρὸς ἑαυτὴν ἐκ τοῦ παρακειμένου τῷ πνεύμονι πνς,
περιέχουσα τῇ διαστολῇ τῆς κοιλότητος, καὶ τὸ πυρῶ-
δες αὐτῆς ἐκριπίζουσα ταῖς ἀρχομέναις ἄρτι εἰσπνοαῖς,
καὶ τοῦτο ποιοῦσα οὐ διαλάπτει. τὸ μὲν ἔξωθεν διὰ τῆς
διαστολῆς τῆς ἰδίας κοιλότητος ἑλκούσης, τὸ δὲ πά-
λιν αὐτῆς διὰ τῆς συστολῆς ταῖς ἀρτηρίαις ἐκείνου,
ὃ καὶ δὴ καὶ τῆς αὐτομάτου ταύτης ἀναπνοῆς
αἴτιον τὸ μὴ γίνεσθαι. Πολλάκις γὰρ ὁ μὲν νοσῶν ἄ-
χολος ἐστὶ πρὸς ἅπερ, ἢ καὶ παντάπασιν ἐν κώ-
μα, λυθέντος δὲ ἐν τῷ ὕπνῳ τοῦ σώματος, ἡ ἀνα-
πνοὴ τοῦ ἀέρος οὐ διαλάπτει. μηδόλως συμφρού-
σης τῆς τούτου προαιρέσεως. ἀραιὸς γάρ τις ὢν ὁ
πνεύμων, καὶ πολύπορος, καὶ πάσας τὰς ἐν αὐ-
τῷ κοιλότητας πρὸς τὴν συνθήκαν τῆς τραχείας ἀρ-
τηρίας ἀναστομώσεις ἔχων: Περικαλύπτει αὐ-
τῷ ἡ καρδία, καὶ προσπέφυκε κατὰ τὸ ἐπίσθιον
μέρος αὐτῆς, καὶ συστελλόμενον καὶ συμπίπτον,
τὸ ἀναπεραιωθὲν αὐτοῦ ταῖς κοιλότησι πνεῦμα, ἀπ-
πιέζων ἐρεθίζει, ὑποχωρῶν δὲ καὶ ἀνοιγόμενος
ἐπισπᾶται διὰ τῆς ὁλκῆς τὸν ἀέρα, καὶ αὐτῇ τὸν

ὅρα πῶς ἕλκει καὶ παρ' ἐκ τοῦ πνεύμονος ἐκ τῆς διαστολῆς καὶ συστολῆς.

ἡ τῷ πνεύμονι.

ὅρα αἴτιον τῆς ἀναπνοῆς τοῦ πνεύμονος.

ὡς ἄρηται τῆς ἀπὸ προαιρέτου ἀναπνοῆς ἡ αἰτία. διὸ καὶ
παρὰ φύσιν ἐπειδὰν θέλῃς ποτὲ τοῦ τῆς καρδίας που
ρώδους, ἐκφλεγμονῆς τυχὼν, ἤ τινος πόνου, τὸ ἆσθ — διὰ τί τὸ ἆσθμα
μα τῶν ἀλγούντων συνεχέστερον γίνεται, καὶ τοὔνα — τῶν ἀλγούντων συνεχέστερόν ἐστι
τὸ φύσιν μικρότερον, καὶ πυκνότερον. καὶ μικρό —
τερον μὲν, ἵνα μὴ σφοδρότερον πλήττῃ, καὶ ὀδυ —
νᾶται. πυκνότερον δὲ, ἵνα τὸ λεῖπον κατὰ τὸ μέ — λεῖπον
γεθος τῇ πυκνότητι ἀναπληρῶσι, ὡς περιαγομένης
τῆς καρδίας τὴν ἄμετρον τῇ ταύτῃ φλογμὸν τῷ νεαρω
τέρῳ, καὶ ψυχροτέρῳ πνεύματι καταψύξῃ. Τινὲς δὲ — περὶ ἀναπνοῆς
φυσικὴν μόνον ἐνόμισαν τὴν ἀναπνοὴν εἶναι, οὐκ ἔ —
στι δέ, ἀλλὰ καὶ ψυχική, καὶ φυσική. σύμπλοκα
γὰρ τῷ ψυχικῷ τὸ φυσικόν. ἡ μὲν γὰρ κινοῦσα τὰ ὄργανα
δύναμις, ψυχική. ἡ δὲ ἀρτηρία δι᾽ ἧς ἡ ἐνέργεια — περὶ ἀρτηρί(ας)
τελεῖται, ὄργανόν ἐστι φυσικόν, καὶ ἀκίνητον μένον,
πάντα δὲ τὰ ὀργανικά, λεγόμενα μόρια, καὶ ὅσα
διὰ νεύρων, καὶ μυῶν κινεῖται, ψυχικά ἐστι, καὶ
τὰ κατὰ προαίρεσιν ἀποτελεῖται, πλὴν τῆς ἀνα —
πνοῆς, αὕτη γὰρ μικτή ἐστιν ὡς ἐδιδάξαμεν, καὶ ἀ —
προαιρέτως ἀποτελεῖται. παρεμπίπτει δὲ καὶ ἡ —
αὐξητική, καὶ θρεπτική τοῦ σώματος δύναμις,

φυσικαὶ οὖσαι. ἀλλὰ καὶ ἡ σφυγμικὴ ζωτικὴ οὖσα.

ὅτι ἡ καθ᾽ ὁρμὴν κίνησις καὶ ἡ αἴσθησις ψυχικαί·

ἡ δὲ καθ᾽ ὁρμὴν κίνησις, καὶ ἡ αἴσθησις ψυχικαί.
πόσα δὲ ὄργανα ἀναπνοῆς, καὶ πόσαι αἰτίαι, καὶ πό-
σαι τούτων διαφοραί, οὐ νῦν λέγειν ἐστὶ πλήν, ἀλλ᾽ ἡ
καρδία καὶ τὸ ὑπὲρ τὸν πνεύμονα ἔχουσι, οὕτως ἀναγκά-
σθαι παρασκευάζεται, ὡς ἐκ κρημνῶν περιάθεν ἀέρ᾽ ἔρχεται.

ὅτι ἡ καρδία περιέχεται τῶν καρδίας·

ἐπειδὴ περιέθεν δὲ αὐτῆς τῷ χωρὶς ἐκ τῆς ἄνω γαστρὸς
περισφιγχθεῖσα, ἔνθεν καὶ αὐτήν, καὶ πρὸς τὰς ἰδί-
ας ἐνεργείας κινουμένην ποιεῖ, οὐ κατὰ πᾶσαν ὅλην τὴν
γαστέρα ὡς τὸν πνεύμονα διεγείρουσιν, ἀλλὰ ὑποδοχὴν
τῆς καταλλήλου τροφῆς. μέση γὰρ ἡ καρδία τοῦ πνεύ-

ὅτι μέση ἡ καρδία τοῦ πνεύμονος καὶ τῆς γαστρός·

μονος καὶ τῆς γαστρὸς ἡγημένη. τῇ μὲν πρὸς τὴν ἀνα-
πνοήν, τῇ δὲ πρὸς τὴν τροφὴν ταῖς δυνάμεσιν αὐτὴ θεῖ·
τῶν δὲ ἀμφοτέρων οἱ πόροι ἐξ ἴσης κατὰ τὸ σῶμα
σῶμα παρήκονται, καλοῦσι δὲ τὸν τοῦ πνεύμονος
πόρον, τραχεῖαν ἀρτηρίαν, τὸν δὲ τῆς γαστρὸς οἰσο-

ὅτι καλοῦσι τὴν τραχεῖαν ἀρτηρίαν καὶ τὸν οἰσοφάγον·

φάγον. ἐπεὶ δὲ ἡ γαστὴρ ὄργανόν ἐστι πέψεως, ἐν
αὐτῇ γὰρ χυλοποιεῖται τὰ ἐσθιόμενα, μᾶλλον δὲ διὰ
παραδείγματος, τὴν ἐν αὐτῇ γινομένην ἀπομέν,

ὅπερ·

ὅτι ὥσπερ τὸν σῖτον λαμβάνοντες ἐν ταῖς μύλαις
καταλεαίνομεν, ποιοῦντες ἄλευρον, εἶτα μετὰ

ὕδατι θερμοῦμεν, καὶ περιστέλλομεν τῇ καμί-
νῳ ἀεὶ τῷ πλησίον, μετὰ δὲ καὶ τῷ πλησίον χρώμεθα καὶ
ἱματίοις, καὶ ἑτέροις μεταδίδομεν, οὕτως καὶ αὐτῷ
ἱματίων ἐρωσῶ ἐστι ἀεὶ ἰδεῖν, τὴν γὰρ τροφὴν πεσσομα-
σόμεθα, καὶ καταχαίνομεν διὰ τῶν ὀδόντων, εἶτα -
πὸ τῆς μιξαντες παραπέμπομεν τῇ γαστρί. ἔστα -
δὲ δεῖται αὐτῇ θερμασίας πλείονος ἀπὸ τῶν ταύτῃ ἐφί -
σαι, ὥσπερ τὸν ἄρτον ὁ κλίβανος, ἔσχα τὴν μὲν καρ-
δίαν ὑπερκειμένην αὐτῷ καθ' ὃν εἴρηται τρόπον, ὥστε
ἀφθόνως αὐτῇ τὴν θερμασίαν παρέχεσθαι. ἔσχα δὲ καὶ
τὸ ἧπαρ διάθερμον, ὡς αἵματος πηγὰς ἀναβρύων.
ἔσχα δὲ καὶ τὸν σπλῆνα, οὐ χωρὶς θερμοῦ, ψυχρὸν γὰρ
τοῦτο τὸ σπλάγχνον φύσει, ἀλλὰ διὰ τῶν ἐν αὐτῷ φλε -
βῶν τε, καὶ ἀρτηριῶν, οὐδὲν ἧττον τῶν ἄλλων καὶ τὴ -
ξικάνου παραπολαύει θερμότητος. ἀλλὰ καὶ τὸ ἐπίπλουν •
ἔσχα ὅπερ τῆς πιμελῶδες ἔχει τῶν πανταχόθεν αὐ -
τῇ περικείμενος χάριν τοῦ μὴ διαπνεῖσθαι καὶ σκε-
δάννυσθαι τὸ ἔμφυτον θερμόν, τὸ καὶ ἐργαζόμενον ἐν
αὐτῇ τὰς πέψεις. τούτου χάριν καὶ τὸ λεγόμενον πε -
ριτόναιον αὐτῇ τε καὶ τοῖς ἐντέροις περιτέταται, πε -
ρισφίγγον αὐτὴν καὶ διαθερμαῖνον. ὅσῳ γὰρ διὰ πυρὸς •

ἔσχα καὶ τὸ ἧπαρ διάθερμον:

περὶ σπληνός:

ἐν τῇ γαστρὶ τὸ ἐπίπλοον

περιτόναι:

ἡ γαστὴρ διὰ τῆς γείτονος γίνεται θερμασίας, τοσοῦτον
μᾶλλον ἐφέλκεσθαι καὶ τὰ τῶν θερμῶν τροφῶν, ἀμφοῖν
δὲ κοινοεργοῦσιν ἡ γαστὴρ καὶ τὸ ἧπαρ. τὴν γοῦν ὕλην,
ἡ μὲν χυλοποιεῖ, τὸ δὲ ἐξαιματοῖ. καὶ ἡ μὲν παραπέμπει
τῷ ἥπατι, τὸ δὲ λαβὸν πέττει καὶ ἐξαιματοῖ, καὶ οὕτως
διὰ τῶν φλεβῶν ἐπὶ τὸ ὅλον ἀποπέμπει σῶμα. ἡ
καθάπερ γὰρ ἐν χώνῃ τῇ ἰδίᾳ σὺν τῇ ἕξει τῆς ἐπεισελ-
θούσης ὕλης ἡ ἀλλοιωτικὴ δύναμις διὰ τῆς αὐτῆς ἐν-
εργείας ποιήσασα, καὶ διαλύσασα τὰ συνθετώτατα
πάντα, καὶ διαφέρων φύσεων τυγχάνοντα ἐς τὴν
γαστέρα φερόμενα, εἰς μίαν ἰδέαν τρέπουσα, τὴν
τοῦ χυλοῦ. λευκὸς δὲ αὐτὸς ὅλος ἐστί, διὰ τὸ τὴν γα-
στέρα λευκὴν εἶναι, νευρώδη δὲ οὖσαν φύσει. χυλὸς
δὲ ἐστὶν ὁ τοιοῦτος, καὶ οὐ χυμός. ὅτι διαφέρει χυλὸς
χυμοῦ. τὸ μὲν γὰρ ἐκ πεπτωκότα καὶ συνεψήσει γεγονός,
λέγεται χυμός, τὸ δὲ ἀνέψητον, καὶ ἀπόπεπτον λέγεται
χυλός. τοῦτον οὖν τὸν χυλὸν διὰ τῶν μεσεραίων, καὶ πα-
ρακειμένων φλεβῶν ἡ θρεπτικὴ δύναμις ἀναχέα-
σα, καὶ δι' αὐτῶν ἀναλεξαμένη καθάπερ ἐκ χώνης
τινός, περὶ τοῖς ἑξῆς πόροις μεταχεῖται, καὶ τὸ πα-
χυμερέστερον τοῖς ἀλικηρινοῖς διακρίνει. καὶ τὸ

ὅρα κοινωνίαν γαστρὸς καὶ ἥπατος

ὅτι ὁ χυλὸς λευκός

ὅτι διαφέρει ὁ χυλὸς τοῦ χυμοῦ

μᾶλλον πλὴν ἤδη καὶ καθαρώτερον ἐπὶ τὰς τοῦ ἥπατος

πάλιν πύλας, ἤτοι περαιουμένη τῷ ἥπατι. καὶ διὰ τῆς

ἀορτῆς καλουμένης ἀρτηρίας, ἥτις ἐστὶ πρώτη τῶν ἀρτηριῶν,

ἀπὸ καρδίας ἐκφλασθεῖσα παρὰ τὴν εἴσοδον τῶν ἤδη εἰσελθόντων

ὑγρῶν τῷ ἥπατι συμβαίνει τὴν ὑγρασίαν διὰ τῆς

θερμότητος αὐτῆς ἀναζέουσαν πλείονα θερμασίαν τῶν χυμῶν

καὶ ἔτι κίνησιν ἀπὸ τῆς γινομένης αὐτῇ τοῦ ἐμφύτου θερμοῦ πυρὸς.

συγγενοῦς ποιεῖ. Εἶτα αὐτὸ τὸ ἧπαρ διὰ τῶν ἀναλογῶν φλε-

βῶν ὅλον τὸ ἀλλοιούμενον σχεδὸν χυλόν, καὶ διαθερμαίνοντα

ἐν τούτῳ ἀναμισγόμενον, καὶ τῇ περιουσίᾳ αὐτοῦ χρόαν κατα-

χρώσαν, ἐρυθρὸν ἀποδεικνύει τὸν πρότερον λευκόν, καὶ ἀνα-

φύσιν, καὶ γίνεται αἷμα, πρακτικὸν αἷμα εἶναι, καὶ θερ-

μὸν τῷ σώματι. καὶ οὕτως ἐπὶ τὸ πᾶν σῶμα διὰ τῶν φλε-

βῶν ἐπιπέμπεται ὅσοι κάτωθεν φέρονται καὶ τὰ κρατοῦντα

ἄρκουν. αὕτη ἡ γένεσις τοῦ αἵματος γίνεσθαι. αἱματοφανοῖς

συμπέμπει καρδίον τε νότισμα· τοῦ αἵματος οἷον καθαρὸν

ἀθάνατον καθ' ὃ ἀέρα περιττόν, δι' ἣν θάλπεται αὖθις καὶ δια-

κρίνεται, καὶ ὅσον μὲν κοῦφον καὶ ἀναφερόμενον, ὅπερ ἐξαν-

θοχολικὸν πέρας τῷ ματί φυγεῖν ἀπελθεῖν, λαμβάνει αὐτὸν

ἡ χοληδόχος κύστις, πλησίον καμένη τοῦ ἥπατος· τὸ δὲ

γεῶδες, καὶ οἷον τρὺξ τοῦ αἵματος, ἑλκεῖ ὁ σπλήν. διὰ

ὅτι ἀορτὴ καλεῖται ἡ πρώτη ἀρτηρία· ὅρα τίνος ἐνέργεια αὐτῆς:

πόσος χυλὸς γίνεται αἷμα

ἀρχὴ γενέσεως

ὅρα τί χολὴ καὶ ἡ χοληδόχος κύστις.

ἡ ἐκ ἥπατος σπληνὸς τροφή.

περὶ νεφρῶν

περὶ συστάσεως οὔρων

ὅρα πῶς ... τὴν σκυβαλώδη ὑποστάθμην τῆς τροφῆς

διὰ τί χρόνῳ πλείονι κατέχεται ἡ τροφὴ ἐν τοῖς ἐντέροις

τοῦ αὐτοῦ πόρου οἱ καθ' ἓν τροφὴν τοῦτο ποιούμενος, κα-
τ' ἀλλήλων γὰρ τὴν τροφὴν ἕκαστον ἐπιδέχεται τῶν μορίων,
εἶτα κατὰ βραχὺ πάλιν ἀλλοιοῦν καὶ ἐξομοιοῦν, πρὸς
τὴν οἰκείαν αὐτῶν οὐσίαν, καὶ οὕτως τρέφονται, τὰ μὲν
ἐκ παχυτέρου αἵματος, τὰ δὲ ἐκ λεπτοῦ αἵματος. ἐκ μὲν οὖν τοῦ τρυγώ-
δους αἵματος ὁ σπλὴν τρέφεται καὶ ἕλκει τὸ τρυγῶδες αἷμα
ἀπὸ τοῦ ἥπατος. καταλείπεται ὅμως τὸ ἐρυθρὸν τοῦ αἵμα-
τος, καὶ διὰ τῆς ἑλκτικῆς δυνάμεως αὐτῶν οἱ νεφροὶ
τοῦτο λαμβάνοντες, τὴν ἐνοῦσαν ἐν αὐτῷ μικρὰν ἐκ
καθαροῦ αἵματος ἀπὸ τροφὴν ἀναμαξάμενοι, τὸ ὑδατῶ-
δες διὰ τοῦ ὅλου περιττώματα, ἀποποιοῦσιν εἰς οὔρων σύ-
στασιν. τὸ δὲ ἐξ οὖρον, καὶ ποσότης τούτου διαφοραί, καὶ
τῆς ἐκ τῶν χρωμάτων ἐναλλαγῆ, καὶ ποῖον τῶν νοσούντων,
ἢ ὑγιαινόντων, ἄλλης ἐστὶ πραγματείας. πλὴν οὕτως
μὲν ἐν τοῖς νεφροῖς τὸ οὖρον. ἡ διακριτικὴ δύναμις
ἀποποιοῦσα διὰ τῆς ἀποκριτικῆς ἀποτίθεται δυνάμεως.
τὴν δέ γε παντελῶς ἰλυώδη καὶ σκυβαλώδη τῆς τροφῆς ὑπο-
στάθμην ἀπὸ τοῖς εὐρυχώροις πόροις τῶν ἐντέρων ἡ φύσις
ἀπωσάτο. καὶ τοῖς πολυτρόποις αὐτῶν ἑλιγμοῖς ἀνα-
στρέφουσα, χρόνῳ πλείονα κατέχει τὴν τροφὴν ἐν αὐ-
τοῖς, διατί· ἵνα μὴ διαθέως τοῦ περιττοῦ ῥᾳδίως ἀπο-

βαλλομένη ἡ κόπρος, δι' ὃ ἀναγκαῖον τὸ ζῶον προσό-
ρεξιν, καὶ μὴ δι' ὅλου παύοιτο τῆς τοιαύτης ἀσχολίας,
κατὰ τὴν τῶν ἀλόγων φύσιν ὁ ἄνθρωπος. περίττωμα δὲ τῆς ὑ-
γρᾶς τροφῆς τὰ σκύβαλα τὰ κύστει βαλλόμενα. δηλονότι τὸ
οὖρον τοῦ ὑδατώδους τὸ περιττόν, ἐκ τῆς συμπάσης τροφῆς
ὀρρός. περίττωμα δὲ λέγεται, τὸ περὶ τῶν περισσευόντων
ἀπὸ τῶν τρεφόντων τὸ σῶμα καὶ ὅσον οὐδὲν ἔτι μὴ ὠφέλιμον
ὄν. πάντα καὶ τὰ τῆς φύσεως ἔργα τοῖς ψυχικοῖς συμπε-
πλάκησαν: καὶ ὅρα πάλιν ἐνταῦθα θαύμασον τὸν δεσ-
πότου καὶ δημιουργοῦ, πῶς καὶ τῆς φύσεως ἔργα τοῖς
ψυχικοῖς συνέπλεξέ τε, καὶ συνέμιξεν. ἐπεὶ δὴ γὰρ καὶ
ἡ ἔκκρισις τῶν εἰρημένων περιττωμάτων τῆς ἀποκριτικῆς
δυνάμεώς ἐστι, ἣ τῆς μιᾶς τῶν φυσικῶν ἐστι δυνάμεων, ἵνα
μὴ ὡς περιφερῶς ἀσχημονῶμεν ἔνθα οὐ δεῖ, ὅτε οὐ δεῖ
καὶ ἀφ' ὧν οὐ δεῖ περιερχόμενοι, συγχωρούς τινας ἐπέθηκε
ταῖς ἐκκρίσεσι τοιούτους μύας, ἵνα ταῖς ἐκκρίσεσιν ἐπέχειν
δυνάμεθα, καὶ πολλάκις καὶ ἐπὶ πολύ, ἄνευ γήρως
ἐσχάτου καὶ νοσημάτων τινῶν. ἐπὰν δὲ οὕτω ταῦτα γένηται,
εἴργουσι τοῦ αἵματος γίνεσθαι, καὶ διασπορὰ ἐφ' ἅπαν
τὸ σῶμα, καὶ τῶν λοιπῶν τῶν εἰρημένων διοικήσεις, δι-
ὅν κοινῶν ὀχετῶν τῆς καρδίας ἀφορμηθέντες, καὶ τ-

τί τὸ περίττωμα τῆς τροφῆς:

τί τὸ οὖρον:

διατί λέγεται περίττωμα:

διατί ἐπέθηκε τινὰς μύας τοῖς χωροῖς:

παντός, ἥτε παχεῖα φλέψ, καὶ ἡ ἀορτὴ ἀρτηρία
τὸ οἰκεῖον ἑκάστη σωληνοειδῶς περιέχουσι — αἷμά τε,
καὶ πνεῦμα, διὰ τὸ ἀπ᾽ αὐτῶν ἅμα τὸ ὑγρὸν τῇ τοῦ θερμοῦ
κινήσει, συμπαροδεύων, καὶ κουφιζόμενον ἐφάπαν
τὸ σῶμα πολυσχιδῶς ἐγκατασπείρειν, ἀπὸ μυρίας ἀρχῆς,
καὶ διαχύσει κατὰ πᾶν μέρος τοῦ σώματος, ἔσωθεν
καὶ ἔξωθεν, κλήματα δ᾽ ἐν φλέβας, καὶ ἀρτηρίας ἐπαφι-
οῦσι· καὶ γὰρ παχέος ὄντος φύσει τοῦ αἵματος, καὶ μὴ
δυναμένου μόνου τὰς στενὰς ὁδοὺς τοῦ σώματος ἀκω-
λύτως διαπεραν, ὅτι ἐστὶ τριχοειδῆ φλεβία λεπτὰ
κατὰ τὰ κόρεια διακάμνατε δεῖ ἤθη συμπαρεῖναι
αὐτῷ τὸ ὕδωρ πῶς δὲ τὸ περίττωμα, ἵνα τῇ λεπτότητι
τοῦ ὑδατώδους περιττώματος ὑπὸ κόλπους διοδεύῃ τὸ
αἷμα προρρέοι ταῖς λεπταῖς τῶν ἀγγείων καὶ πρὸς ἅπαν τὸ
σῶμα διὰ τῶν τριχοειδῶν ἀγγείων ὡς εἴρηται:

περὶ τῆς μίξεως τῶν ἀρχῶν τῶν ζωτικῶν δυνάμεων:

Μιχθῆσι δὴ πρὸς ἀλλήλας τῶν ζωτικῶν δυνάμεων
αἱ δύο ἀρχαί, εἴτε τὸ θερμὸν ἀπὸ καρδίας πανταχοῦ
κατὰ τὸ σῶμα ἐκπέμπει· καὶ εἰ τὸ ὑγρὸν χορηγοῦντα
τε ἐξ ἥπατος, τὴν ἀρχικωτέραν τῆς ζωτικῆς δυνάμεως
οἰκονομίαν διαφέρουσι· τοῦ τε γὰρ θερμοῦ τὸ καθαρώ-
τερον, καὶ τοῦ ὑγροῦ τὸ λεπτότερον παρ᾽ ἑκατέρας

αἷμα

δυνάμεως διά τινος μίξεως καὶ ἀνακράσεως ἑνω-
θέντα τρέφει καὶ σωματικοῖ τὸν ἐγκέφαλον διὰ τῶν ἀτ-
μῶν, ἀφοῦ πάλιν ἐκλεπτυνομένη ἀνάδοσις ἄνωθεν κατὰ
ὑπαλάφει τὸ περιεκτικὸν τοῦ ἐγκεφάλου ὑμένα τὸν
δεχόμενον τὴν ψυχικὴν ἐνέργειαν, ὃ καὶ δικτυῶδες
πλέγμα πνεῦμα καλοῦσιν οἱ ἰατροί· ἡ γὰρ ψυχὴ αὐτὴ μὲν καθ᾽
αὑτὴν ἀθάνατός ἐστι καὶ ἀσώματος, ἀλλὰ μετὰ δὲ ἀπὸ τοῦ σώ-
ματος οὐ κακῶς, ἀλλὰ κεχρημένη ὀργάνῳ τινί,
τῷ καλουμένῳ πνεύματι ψυχικῷ· τοῦτο δὲ ἐκπεμπό-
μενον ἐκ καρδίας διὰ τῆς ἀορτῆς ἀρτηρίας, καὶ φερόμενον
περὶ τὸ ἀρτιμένον δικτυῶδες πλέγμα ἐκεῖσε ἀναπέμ-
πεται πέττεται, καὶ λεπτύνεται, καὶ αἰθεριοῦται, καὶ
αὐγοειδὲς γίνεται, ὡς ἐπιτήδειον εἶναι δέξασθαι ψυχῆς
ἔλλαμψιν. ἂν τοίνυν τοῦτο παχύτερον αὐτοῦ ᾖ, καὶ τεθο-
λωμένον, ἡ μὲν τῆς ψυχῆς οὐσία οὐδὲν ἐξ αὐτοῦ παρα-
βλάπτεται, τὸ δὲ σῶμα διὰ τὴν τούτου κακίαν, οἷον ἀ-
φῶς ἢ καταλάμπεται, ἢ ἐνεργεῖ· ἂν δὲ ᾖ ἀλεπτομε-
ρές, ἀνεπιτήδειος καὶ τὸ σῶμα τῶν ψυχικῶν ἐνεργειῶν
ἀπολαύει· διὰ ταύτην τοίνυν τὴν αἰτίαν ἀποφαινόμενον-
τες κάλλιον λογιζόμεθα, καὶ τὸ ἡγεμονικὸν ἐνεργεῖ
ἐπιτελοῦμεν· περὶ πνευματικοὶ δὲ καὶ μάλιστα μὲν τοὺς

ὅρα πῶς ἡ τροφὴ τρέφει τὸν ἐγκέφαλον:

πόθεν ὑπαλάφει τὸ ὑμήν

ποῖον τὸ δικτυῶδες πνεῦμα:

(ση) περὶ ψυχῆς:

πόθεν ἐκπέμπεται τὸ ψυχικὸν πνεῦμα: +

ὅτι ἀπὸ φύσει τοιμάνον τοῦ ἐγκεφάλου καλλίω λογιζόμεθα: +

ἀρτηρίας, οὐδὲ μίαν τῶν δηλουσῶν ἐνεργειῶν ἐπιτε-
πόθεν ὁ τοῦ ἄρθρου κίνησις, καὶ τῶν μυῶν, καὶ τοῦ γηΐνου ἡμῶν: λεῖν δυναίμεθα. ἐκ τούτου οὖν ἀρχομένου μυὸς, πᾶσα
μὲν ἄρθρου κίνησις, πᾶσα δὲ μυῶν συνολκή, πᾶν
δὲ περιαιρετικὸν πνεῦμα τοῖς πᾶσι μορίοις τοῦ σώματος
ἀνδριάντος κίνησις: ἡμῶν ἐπιπεμπόμενον τὸν γήϊνον ἡμῶν ἀνδριάντα ἐκ-
μηχανῆς τινος κινούμενον δείκνυσιν. ἄλλο ἀδῶς γὰρ ἄνω-
θεν δεικνύων ἐπὶ τὸ βάθος διὰ τῶν καθεξῆς σπονδύλων
τῆς ῥάχεως: οὕτως ὁ μυελὸς κάτεισι, καὶ τῶν ἐγκειμένων
σὺν αὐτῷ μυελὸν τῇ βάσει ἐναπολύγαι τῆς ῥάχεως,
πάσαις ὀστέων, καὶ ἁρμονιῶν συμβολαῖς, καὶ μυῶν
ἀρχαῖς, οἷον τις ἡνίοχος αὐτὸς ἐνδιδοὺς τῆς καθ' ἕκα-
στον κινήσεως τὴν ὁρμὴν καὶ τὴν δύναμιν, διὰ τοῦτο
μοι δοκῇ κατὰ ἀσφαλεστέρας φρουρᾶς ἠξιῶσθαι. κα-
τὰ μὲν τὴν κεφαλὴν διπλαῖς ὀστέων περιβολαῖς ἐγ-
κύκλῳ διειλημμένως. κατὰ δὲ τὴν ῥάχιν ταῖς τῶν ἀκαν-
θῶν ἐκφύσεσι, καὶ τοῖς πολυπτέροις κατὰ σχῆμα δια-
πλοκαῖς, δι' ὧν ἐνάπτεσθαι πᾶσι φυλάσσεται, διὰ τῆς
περιεχούσης τὸν ὑμένα φρουρᾶς ὁ ἐγκέφαλος:
ὁμοίως μέντοι καὶ περὶ τῆς καρδίας αὐτῆς κατασχά-
σαιτο ὅτι καθάπερ τις οἶκος ἀσφαλὴς αὕτη διὰ τῶν
πῶς ὀχυρώθη ἡ καρδία: στερεωτέρων περιφραγμῶσθαι ταῖς τῶν ὀστέων κυκλοτερίο-

χαῖς ὀχυρωμένη· κατόπιν μὲν γὰρ τῇ ῥάχει ταῖς ὠμο-
πλάταις καὶ ἀσφαλείαις σπουδῇ δεδεμένη· καθ' ἑκάτερ-
δὲ πλάγιον, ὑπὸ τῶν πλευρῶν σὺν τοῖς περιπίπτουσι τοῖς — περιπίπτουσι.
μεσόσον διαπαθὲν ἀσφαλίζεται· ἔνδοθεν τοῖς ἔμπροσθεν
τὸ στέρνον, καὶ ἡ τῆς κλειδὸς συζυγία προβέβληται,
ὡς ἂν ἁπανταχόθεν αὐτῇ τὸ ἀσφαλὲς ἀπὸ τῶν ἔξωθεν
διοχλούντων φυλάσσοιτο· ἔνδοθεν δὲ ὁ πνεύμων ὥσπερ — διὰ τί μέσην τὴν καρδίαν περιλαμβάνει ὁ πνεύμων·
στρωμνὴ ἁπαλὸν τοῖς ἅλμασιν αὐτῆς ἐναποδεχόμενος,
ἄπληκτον αὐτὴν διατηρεῖ, καὶ ἀβλαβῆ. ἀφρώδους
γὰρ ὢν ὁ πνεύμων οὐσίας, καὶ ἁπαλωτέρας σαρκός, μέ-
σην τὴν καρδίαν περιλαμβάνει, ὡς ἂν καὶ τοὺς παλμοὺς
αὐτῆς δέχηται, καὶ μὴ ἀντιτυπῶν αὐτὴν ὀδυνᾷ, ἢ
θλίβοι μᾶλλον· περιαναψύχει ὡς διὰ τῆς ἀναπνοῆς παρα-
μυθεῖται μετρίως. Ἐπεὶ δὲ καὶ ἀνέσεως αἱ ζωτικαὶ
τοῦ σώματος ἐνέργειαι δέονται, ἵνα μὴ τῷ συντόνῳ κόπῳ — τίς ἡ χρεία τοῦ ὕπνου·
ἡ τοῦ σώματος ἕξις ἀμβλύνηται, τοῦ ὕπνου ἡ χρεία τῷ
πανοίκηθεν τῇ φύσει, ὥστε καὶ ἐκ τοῦ κόπου ἐξαιμα-
τωθεῖσαν ἀνεμποδίστως ἐπιτελεῖσθαι, καὶ ἡ ἐξ αὐτοῦ τῆς
τροφῆς χορηγία πρὸς ἅπαν μόριον ἀποκρινομένη
μηδαμόθεν κωλύεται, ὅθεν μετὰ τὴν τροφὴν συνναδό-
σεις καὶ συνωθουμένης ἐν τῷ βάθει τῆς φύσεως

περὶ τὴν τῆς τροφῆς ἐργασίαν. καὶ τοῦ ἐμφύτου θερμοῦ
ἐπὶ τὰ ἔσω τρέχοντος, ἀτμοί τινες χρηστοὶ ἐν τῇ τῶν σι-
τίων ζυμώσει, καὶ τῇ πέψει γινόμενοι (ὠθεῖ γὰρ τὰ ἐπο-
μενα ἄνω πέμπουσαν τὴν τῶν ἀτμῶν ὑγρασίαν ἐπὶ τὸν
ἐγκέφαλον) ἄνεισι τὰ ἤδη ἐξατμισθέντα ἐκ τῆς ἑψή-
σεως ὑγρασίας καὶ καθυγραίνοντες αὐτὸν ἱκανῶς, καὶ
τὰς κοιλότητας αὐτοῦ ἐμφράττοντες τὴν περιουσίαν
τῆς ὁμιχλώδους παχύτητος, καὶ τοῦ χορηγουμένου ἐ-
πὶ τὰ αἰσθητήρια, καὶ ἐπὶ τὰ πανταχοῦ διήκοντα νεῦρα
τοῦ σώματος, ζωτικὸν πνεῦμα ἀμβλυνόμενον ἐνεργεῖν, ἀνε-
νέργητος ὁ ἄνθρωπος γίνεται, νεκρῷ παραπλήσιος. ὅθεν ἡ
καταλαμβάνουσα τὸ ζῶον διάθεσις ὕπνος λέγεται, πα-
ρὰ τὸ φρένας ὑπνοσπᾶν, ἢ ὑποχωρεῖν, ἐν τῷ ὕπνῳ γὰρ
αἱ τοῦ ἀνθρώπου αἰσθήσεις ὑποχωροῦσι καθ' ὃν ἄρτι κατὰ πρότερον.
ἐν δὲ τῷ ὕπνῳ καὶ αἱ φυσικαὶ ἐνέργειαι γίνονται, καὶ αἱ
πέψεις, καὶ ἐξαιματώσεις, καὶ ἀναδόσεις, τῆς τρο-
φῆς πρὸς πάντα τὰ μόρια ἀνεμποδίστως ἐπιτελοῦνται
ἐκ τῆς κατὰ φύσιν κινήσεως ἀπεργαζομένου τοῦ ζώου.
ἡσυχία γὰρ καὶ παῦλα τῶν φυσικῶν ἐνεργειῶν ὁ ὕ-
πνος. ἃ δὲ ποτὲ σπονοχαράττομεν ὑπὸ τῆς ἔνδοθεν ἀνα-
θυμιάσεως ἡ περὶ τὰ αἰσθητήρια διασκαφή, κωλύει τοὺς

[Margin notes:]
ὅτι οἱ ἀτμοὶ πέμπονται τὴν ζυμώσεως ὑγρασίαν ἐπὶ τὸν ἐγκέφαλον.

διὸ ἄνθρωπος πολλὰ ἀνενέργητος γενόμενος, ἡ νεκρῷ παραπλήσιος.

ὅτι καὶ αἱ φυσικαὶ ἐνέργειαι, καὶ αἱ πέψεις, καὶ ἐξαιματώσεις, καὶ ἀναδόσεις ἐν τῷ ὕπνῳ γίνονται.

διὰ τίνα χρείαν ὁ ὕπνος πληρέστερον γινόμενον τῶν
ἀτμῶν τὸ ναρκῶδες, αὐτοῦ ὑφ' ἑαυτοῦ φυσικῶς δια-
τάνεται: Εἰσωθεῖσ δὴ γὰρ οἱ μεθύοντες καὶ τὰ κάρα θερμαι-
νόμενα διΐστασθαι. ὅπως διὰ τῆς ἐκτάσεως, ἢ δια-
στάσεως τὸ παχυνθὲν ὑπὸ τῶν ἀτμῶν μέρος ἐκλεπτυν-
θῆναι. οἷόν τι ποιοῦσιν, οἱ διὰ τῆς σφοδροτέρας περι-
βλόσεως τὸ ὕδωρ τῶν ἱματίων ἐκθλίβοντες, καὶ ἐπα-
δὴ κυκλοτελῆ τὰ περὶ τὸν φάρυγγα μέρη, πλεονάζει
τὸ ναρκῶδες ἐν τούτοις, ὅταν καὶ ἀπὸ τούτων ἐξωθῆναι
δέῃ τὴν τῶν ἀτμῶν παχυμέρειαν, διατείνονται αἱ μηες
τοῦ στόματος, καὶ διΐστανται, καὶ τῶν ἐντὸς πάντων. εἰς
κύκλου σχῆμα διατεθέντων, ἢ λιγνυώδους ἀνάγκη πα-
χύτητος εἶναι πλημμελῶς τοῖς μέρεσι τούτοις σὺν διαπνοῇ
τῇ ἐξόδῳ τοῦ πνς. πολλάκις δὲ καὶ μετὰ τὸν ὕπνον οἶδε
καὶ τὸ τοιοῦτον συμβαίνειν, ὅταν τι τῶν ἀτμῶν ἐγκατα-
παραλειφθῇ ἐν τοῖς τόποις ἄπεπτον, καὶ ἀδιάπνευστον.
οὐ μόνον δὲ αἱ πέψασαι, καὶ ἐξαιματώσασαι, καὶ ἀναδώ-
σασαι κατὰ τὸν καιρὸν τοῦ ὕπνου τελοῦνται, ἀλλὰ γὰρ καὶ
τὰ λοιπὰ περιττώματα, τὰ μὲν παχέα λεπτύνεται,
τὰ δὲ λεπτά, καὶ ὑγρὰ μὲν παχύνεται συμμέτρως
καὶ ἐξαιματοῦται καὶ κρατοῦται, καὶ μεταβάλλεται.

διὰ τί οἱ μεθύοντες καὶ τὰ κάρα θερμαινόμενα διΐστανται:

διὰ τί πλεονάζει τὸ ναρκῶδες ἐν τοῖς μέρεσι τοῦ φάρυγγος:

ὑπὲρ

τί ἡ ὑπορμῶσα ἡ μέν(η)

ὁ ὕπνος ἀμβλύνει ... σφοδρότητα ... παραμυθεῖται ψυχικὰς ἀγωνίας, καὶ λύπας·

καὶ τὰ περιττὰ πρὸς ἔκκρισιν καθίσταται. καὶ μάρ-
τυς ἡ πεῖρα τοῦ χρόνου· εὐθὺς γὰρ ἀνισταμένων τῶν
ἐξ ὕπνου καὶ πρὸς οὔρησιν, καὶ τὴν τῶν ἀφεδρῶν ἀπο-
πάτησιν τρέχομεν. οἶδε δὲ ὁ ὕπνος καὶ νοσημάτων
σφοδρότητας ἀμβλῦναι, καὶ ψυχικὰς ἀγωνίας,
καὶ λύπας παραμυθεῖσθαι, καὶ χαρὰν ἐμποιεῖν. ἡ
γὰρ ἐκ χαλεπῆς ἀρρωστίας πρὸς ὑγείαν γινομένη
κρίσις ἢ ἀπ' ἀγαθῶν, καὶ φίλων, καὶ συγγενῶν,
καὶ οἰκείων, καὶ αὐτοῦ τοῦ κάμνοντος ὑπάρχει χαρά,
καὶ οὐκ ἐκ προαιρέσεως, ἀλλ' ἐκ τῆς τῶν συμβαι-
νόντων ἀκολουθίας συνίσταται. ὁ γὰρ κατὰ τὴν ἡδ(ονὴν)
εὐθυμούμενος ἀκούων τε, καὶ βλέπων τὰ αὐτοῦ
καταθύμια, τῶν δυσκόλων δέ τι μὴ προσδοκῶν
αὐτῷ γενήσεσθαι, χαίρει. ὁ δὲ πενόμενος, ἢ τυ-
πτόμενος, ἢ ζημιούμενος, ἢ τι τῶν οἰκ(είων) ἀγαθῶν,
ἀπροσδοκῶν, ἀνάγκη λυπεῖσθαι· ἕπεται μὲν
ἐπὶ τῆς χαρᾶς, διάχυσις, καὶ γέλως· ἐπὶ δὲ τῆς λύ-
πης, στεναγμοί, καὶ δάκρυα. ἔστι δὲ λύπη, διά-
θεσις ψυχῆς, ἐξ ὀδυνῶν ἐπιφερομένη· παραγίνεται
παρὰ τὸ λύειν ὡς δάκρυα τοὺς ὦπας, καὶ λυμαί-
νεσθαι τοὺς τοιούτους, λυωπικοὺς οὖσα· λύπη γὰρ τῆς ψυχῆς ἡ

λύπη σκιερὸν τῆς ψυχῆς ἐστί· τὸ πάθος πολύπικρον·

πολυπηροί· χαρὰν δὲ ὁρίζονται τὴν τῶν καταθυμίων περὶ χαρᾶς
ἐπιπλήρωσιν. τὸ δὲ δάκρυον, οἷον δάκνυόν τί ἐστι, περὶ δακρύων
δακνομένης γὰρ τῆς καρδίας ἐξέρχεται τὸ δάκρυον.
ἡ δὲ γένεσις αὐτοῦ τοιαύτη. τῆς ἐπελθούσης ἀ-
νοίας εἰς τὸ ἄνω, τὴν ψυχὴν αὐτοῦ συστελλούσης, φρασ-
μῶ στενοχωρία τοῖς ἔνδοθεν ἐπιγίνεται σπλάγχνοις,
ἐξ ἧς ἀναθυμίασις πλείστη ὑγρῶν περὶ τὸν ἐγ-
κέφαλον γίνεται, ὅταν δὲ αὐτοῦ τὰ κοῖλα τῶν ἐκ τῆς
λύπης ἀναθυμιάσεων πληρωθῶσι, περὶ τοὺς τῶν
ὀφθαλμῶν ἀποθλίβεται χιτῶνας τὴν ὑγρασίαν, καὶ τῇ
τοῦ ἀβουλήτου δήξει, τοῦ ὑγροῦ τὸ βάρος ἀποσκεδαζό-
μενον καταφέρεται ὥσπερ νέφος ἀπὸ γῆς καὶ, οὕτως
τοῦ πάχους τῶν ἀτμῶν διαλυθέντος, τὸ δάκρυον,
ἔνθεν καὶ ἡ ὀδύνη τί ἐστι φησὶν ὁ μέγας Βασίλειος τοῖς λυ-
πουμένοις περὶ τὸν θρῆνον, λανθάνοντος ἐγγίνεται διὰ
τὸ κλαίειν, κενουμένου αὐτοῖς τοῦ βαρύνοντος, ἐκ δὲ
τῆς ἀρχομένης τῶν σπλάγχνων στενοχωρίας, καὶ τῆς
πολλῆς ἀναθυμιάσεως, καὶ τὰ ἀναπνευστικὰ στε-
νοχωρούμενα ὄργανα. διὸ τοίγαρ πολλάκις ὁ κλαυ-
γίνεται λυγμὸς ὑπὸ τῆς φύσεως, περὶ τὴν τῶν συμ-
πεπτωκότων διαστολὴν τὸ στενωθὲν ἀνευρυνούσης, τοῦ

στεναγμοῦ γένεσις:

ἤγουν ἀναπνιασμόν

χίου τὴν σύμπτωσιν καλύπτειν ἐστί, διὸ στεναγμὸν αὐτὴν
ἀπὸ πνιασμὸν ὀνομάζομεν· ἀνακλᾶται γὰρ ἐν τούτῳ
τῷ στεναγμῷ, οἷον, ἑαυτὴν ἡ ψυχὴ τῇ ἀποκρίσει τοῦ πα-
χυνθέντος ἐν τῇ καρδίᾳ διὰ τῆς λύπης αἰθάλης, καὶ
ἀντεισαγωγὴ ἀέρος εἰς αὐτὴν καθαροῦ· οὕτως γὰρ τὸ δα-
κρυον, καὶ ὁ στεναγμὸς συνίσταται ἐν ἡμῖν. ἡ δὲ χαρὰ,

περὶ χαρᾶς:

οἷον, σκίρτημά τι τῆς ψυχῆς, ἐπαγαλλομένης ἐν τοῖς
καταγνώμην αὐτῇ ἀπολαύουσιν· ὡς γὰρ ἐν τῇ θλίψει

θλίψις

μύουσιν αἱ λεπταὶ καὶ ἄδηλοι περὶ τὸ δέρμα διαπνοαί,
καὶ ὁ ἀτμὸς ἀνιὼν σκοτοῖ τὸν ἐγκέφαλον, καὶ ἡ ψυχὴ συ-
στέλλεται, καὶ κατηφεῖ, οὕτως ἐν τῇ χαρᾷ διαχέον-
ταί πως, καὶ διαλύονται οἱ τοῦ σώματος πόροι, καὶ πλεί-
του συνεχῶς εὐρυνομένων αὐτῶν, ἀσυλλῆται πνεῦμα
ἐπὶ τὸ καθαρὸν λεπτὸν καὶ θερμὸν καὶ σὺν δὲ πάλιν θερ-
μαινόμενον ἐπὶ πλέον, οὐκ ἔτι στέγει τὰ σπλάγχνα
τὸ πλῆθος τοῦ πνεύματος, καὶ τὸ θερμὸν αὐτοῦ, ὅθεν τὴν κοιλίαν
κινεῖ τῇ ἐξόδῳ τοῦ πνεύματος μηχανωμένη ἡ φύσις οὐκέτι
ἐπὶ τὸν ἐγκέφαλον ἀναπέμπει ἀτμούς, ἀλλ' ἀνα-
ρεῖ μὲν τὸν πόρον τοῦ στόματος, καὶ τὸ τοιοῦτον πνεῦμα ἐκ-
ξωθεῖ διά τινος κλόνου βρασμώδους τοῦ ἥπατος, καὶ κι-
νήσεως· ὄνομα δὲ τῷ γινομένῳ γέλως ἐστί· οὕτως γὰρ

αὐτὴν καὶ ὀρείζονται, σπασμώδη κίνησιν τῶν περὶ τὸ πρό-
σωπον μυῶν, ἤτοι τοὺς μυώδεις πλατύσματος, ἐπὶ τῶν
ἔνδοθεν σπλάγχνων τοῦ κινοῦντος πνεύματος ὠθουμένου, πα- περὶ γέλωτος:·
ρὰ τὸ γελῶ, γέλως εἴρηται. τὸ δὲ γελῶ, παρὰ τὸ ἕλη, ὅση πόθεν γελῶ:·
καὶ τὴν θερμασίαν· οἱ γὰρ θερμοὶ πολλὰ γελῶσι:
ἐπεὶ οὖν λύπη, καὶ χαρὰ διαφέρει, καὶ τὰ περὶ τὸ
σῶμα ἐν τούτων γινόμενα συμπτώματα διενήνοχε·
τοῖς γὰρ λυπουμένοις ὕπωχρος καὶ πελιδνός, καὶ κατη-
φυγμένος ὁ ὄγκος τοῦ σώματος διαφαίνεται, τοῖς δὲ
φαιδρυνομένοις, ἐξανθοῦσα, καὶ ὑπέρυθρος
ἡ τοῦ σώματος ἕξις, μονονουχὶ πηδώσης τῆς ψυχῆς,
καὶ προθυμουμένης ὑφ᾽ ἡδονῆς εἰς τὸ ἔξω, τὴν ἔν-
δοθεν αὐτῇ ἐπισταλοῦσαν χαράν· πῶς οὖν γεννᾶται
τοῦτο τὸ ζῶον, καὶ πῶς ἀνατρέφεται· καὶ πόσαι ζωτι-
καί, καὶ φυσικαί, καὶ ψυχικαὶ δυνάμεις ἐν αὐτῷ ἐ-
νεργοῦσιν, καὶ πῶς ὁ νοῦς διὰ τῶν αἰσθήσεων ἐνερ-
γεῖ, καὶ τί τὸ τριμερὲς τῆς ψυχῆς, καὶ πόσαι αἱ γενι-
καὶ ἀρεταί, καὶ τί τὰ ἐξ αὐτῶν γινόμενα γένη, τῆς
κακίας, ἢ ἀρετῆς, καὶ πῶς χαρά, καὶ λύπη συνίσταται.
καὶ πῶς γέλως, καὶ δάκρυα, καὶ ὕπνος, εἴρηται:+
λοιπὸν ἴδωμεν καὶ τὰ τοῦ σώματος μόρια, τά τε ἁπλᾶ, περὶ τῶν τοῦ σώματος μορί(ων)+

καὶ πρῶτα λεγόμενα, καὶ τὰ ἐκ τούτων συγκείμενα,
γρ. ὀργανικά καὶ ἁρμονικὰ προσαγορευόμενα, καὶ ῥητέον οὕτω πῶς
τε καλοῦνται, καὶ πῶς συνδέδονται, καὶ διατί οὕτως
καὶ ὀνομάζονται. ἐπειδὴ ἐν τούτῳ ἀρχὴ παραινεῖ θεοῦ τοῦ
βοηθῆσαί τι ἡμῶν τοῖς διανοήμασιν ἐπὶ ταύτῃ τῇ σκέψει, ὅπως
πληθυνθῶσιν αἱ ἔννοιαί μου, καὶ αἱ ἀσινησίαι μου
πλεονάσωσιν, ἔργα σοφίας αὐτοῦ ἀναλόγως, καὶ ἀμα-
γνῶ] θῶς ἐρευνόντος: οἱ γὰρ τῶν ὑπερφυῶν μὲν ἐφιέμενοι καὶ
τῶν μετεώρων ἀποτυγχάνουσιν, πλὴν οὐ καταφρονητέον,
οὐδὲ ἀπογνωστέον τῆς ἐγχειρήσεως. αὐτὸς γὰρ λέγει ὅτι πᾶς
ὁ αἰτῶν λαμβάνει ἀφθόνως, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρού-
περὶ ὁμοιομερῶν καὶ ἀνομοιομερῶν: οντι ἀνοιγήσεται:+ Τῶν ἐν τοῖς σώμασιν ἡμῶν μερῶν,
τὰ μὲν ὁμοιομερῆ λέγεται, τὰ δὲ ἀνομοιομερῆ. ὁμοιο-
μερῆ μὲν, τὰ ἁπλᾶ, καὶ πρῶτα, οἷον, αἷμα, φλέγ-
μα, χολὴ μέλαινα, καὶ ξανθή, ἃ καὶ στοιχεῖα τοῦ σώματος
εἰσί. ἔξωθεν καὶ μεθ' ὧν, ὁ ἐγκέφαλος, μήνιγγες, μή-
τραι, μυελὸς ὁ ἐν τοῖς ὀστοῖς. αὐτὰ τὰ ὀστᾶ, ὀδόντες.
χόνδροι. ἀδένες. σύνδεσμοι. ὑμένες. ἶνες. τρίχες,
ὄνυχες, σάρκες, φλέβες, ἀρτηρίαι, πόροι, πιμε-
λή, δέρμα. τένοντες, σύνθετοι δὲ οὗτοι, ὥσπερ καὶ οἱ
μύες ἐκ τε συνδέσμων, καὶ νευρωδῶν ἰνῶν συγκείμενοι.

ταῦτα μὲν οὖν τὰ ὁμοιομερῆ, καὶ πρῶτα, ἐξ ὧν
τὰ ἀνομοιομερῆ, καὶ ὀργανικὰ συνίσταται, οἷον, κε-
φαλή, θώραξ, χεῖρες, πόδες, καὶ ὅσα ἐκ τῶν ὁ-
μοιομερῶν συνέστη· πᾶν γὰρ ἀνομοιομερὲς ἐξ ὁ-
μοιομερῶν συνέστηκεν, ἐκ τούτων δὲ τὸ σύμμετρον
τε καὶ ἀσύμμετρον σῶμα· τῆς συμμετρίας ἔν τε ἄλλοις
τούτοις θεωρουμένης, ἐν σχήματι, ἐν ἀριθμῷ, ἐν με-
γέθει, ἐν θέσει· ὁμοίως καὶ τῆς ἀσυμμετρίας ἐν τοῖς
ἐναντίοις· τὸ γὰρ κάλλος τοῦ σώματος εὐρυθμία
τῶν μελῶν μετὰ εὐχροίας· τοῦτο δὲ γίνεται ἀκριβῶς
μὲν τῶν ὁμοιομερῶν, συμμέτρως δὲ τῶν ὀργανικῶν
ἐχόντων· ἀρεταὶ γὰρ σώματος, ὑγεία τε, καὶ ῥώμη,
καὶ κάλλος, καὶ ἀρτιότης, ἢ ὁλοκληρία· ἀρεταὶ δὲ
ψυχῆς, φρόνησις, σωφροσύνη, ἀνδρεία, καὶ δικαιο-
σύνη· ἀναλογεῖ οὖν ἡ τοῦ σώματος ῥώμη, πρὸς τὴν
τῆς ψυχῆς ἀνδρείαν· ἡ μὲν ῥώμη εὐτονία τοῦ σώμα-
τος, καὶ ἰσχὺς δυσανταγώνιστος, τοῖς νοσάζειν τὸ σῶμα
δυναμένοις· ἡ δὲ ἀνδρεία, ῥώμη ψυχῆς, καὶ ἰσχὺς
πρὸς τὰς ὑπομονὰς τῶν ἰσχυρῶν φαντασιῶν, θανάτου
φόβου, πόνου, ταλαιπωρίας, ἡδονῶν, καὶ πάντων
τῶν δεινῶν τε, καὶ φοβερῶν εἶναι νομιζομένων· τῷ δὲ

ὅρα περὶ συμμετρίας, καὶ ἀσυμμετρίας

περὶ κάλλους τοῦ σώματος·

ἀρεταὶ σώματος·

ὅτι ἡ τοῦ ῥώμη τοῦ σώματος ἀναλογεῖ πρὸς τὴν ἀνδρείαν τῆς ψυχῆς·

ἡ δικαιοσύνη τῷ κάλλει:·

κάλλη, ἡ δικαιοσύνη πρὸς τὸ κάλλος, τὸ γὰρ κάλλος ἐν συμ-
μετρίᾳ μελῶν μετὰ τῆς χροιᾶς νοεῖται, ἡ δὲ δικαιοσύνη,

τῇ φρονήσει ἡ ἀρτιότης:·

ἐν τῇ διανομῇ τῶν κατ' ἀξίαν ἑκάστου· ἡ δὲ φρόνησις,
ἡ ἀρτιότης, συμπληροῖ· ὥσπερ γὰρ ἡ φρόνησις τῶν
τῆς ψυχῆς ὀρθῶν καταλήψεων, ὥσπερ ἡ ἀρτιότης τῶν

ἡ ὑγίεια καὶ ἡ εὐεξία:·

τοῦ σώματος μελῶν· ὑγίεια δὲ καὶ εὐεξία σύμμετρος.
ἡ δὲ εὐεξία ὑγίεια ἐπὶ τὸ μᾶλλον· παρεπόμενα δὲ τῇ ὑ-

παρεπόμενα τῇ ὑγιείᾳ:·

γιείᾳ, κάλλος, εὐεξία, ἀρτιότης· κάλλος οὐ τὸ ἀπὸ κο-
μμωτικοῦ, ἢ διὰ ἐπιχρίσματων προσώπου, καὶ γραφ-
τεῖ χειρῶν, ἀλλὰ τὸ κατ' ἐπακόλουθον τῆς ὑγιείας συνιστά-
μενον καὶ τὴν κρασίαν τοῦ ἐμφύτου θερμοῦ, τῶν τε
ὁμοιομερῶν, καὶ ὀργανικῶν μορίων, καὶ μελῶν· ἡ

τί ἐστιν ὑγίεια:·

γὰρ ὑγίεια, εὐκρασία ἐστὶ τῶν ἐν ἡμῖν χυμῶν, καὶ
τῶν ψυχικῶν, καὶ φυσικῶν, καὶ ζωτικῶν δυνάμεων
ἀπαρεμποδίστους ἐνέργειας. τοῦ ἤθους τοῦ τῆς ψυχῆς καὶ

περὶ ἤθους ψυχῆς:·

τοῦ σώματος καλῶς διαφαινομένου: Ἐπεὶ δὲ ψυχῆς μὲν
ἦθος, ποιότης ψυχῆς τοιάδε, ἀπεσκιρρωμένη, καὶ
δυσαπόβλητος, τουτέστι παγία, καὶ ὡς ἕξις ἀληθῶς οὖ-

περὶ ἤθους σώματος:·

σα: σώματος δὲ ἦθος, ὁ εὐπρεπὴς κόσμος, ἢ γοῦν τε-
λειότης· ἡ διὰ τῆς τῶν ἄκρων στερήσεως τῆς τε ὑπε-

ἀκοσκία:·

ροχῆς καὶ ἐνδείας θεωρουμένη, ἡ ἀρτιότης· ἄκος ~

μία δι' ὅ τι πλεονασμὸς καὶ ἔλλειψις. ὅταν γὰρ πλεονά-
ζων τινὸς μορίου, ὥς τινες εἰσὶν ἑξαδάκτυλοι, ἢ κατὰ τὸ μῆκος
ποδός, ἢ χειρός, ἢ ὀφθαλμοῦ, ἢ τινὸς ἄλλου μορίου,
ἄκοσμός ἐστι, καὶ ἀσύμμετρος, καὶ ἔστι τοῦτο περὶ αὐτὸν
ἀεὶ θεωρούμενον σφάλμα· ἀλλὰ καὶ ὁ περὶ τὸ σχῆμα κακίαν ἔχων,
οἷον διεστραμμένους τοὺς ὀφθαλμούς, ἢ κυρτοὺς πόδας, ἢ τὴν
χεῖρα μείζονα τῆς ἑτέρας ἐσφαλμένος ἐστί· καὶ ὁ περὶ
τὴν θέσιν ἐν τῇ ἑτέρᾳ ἐν ὅλῳ σχεδόν, ἢ μικρὸν ἔξω κοτύλης,
ἢ χεῖρα συμφυεῖς ἔχων τῇ ὠμοπλάτῃ, ἢ τοιοῦτον· ὁμοίως
καὶ ὁ περὶ τὸ μέγεθος, ὡς ἔχειν κεφαλὴν ὑπερμεγέ-
θη, ἢ μικροτέραν τοῦ κατὰ φύσιν, ἢ ῥῖνα, ἢ ὀφθαλμούς,
ἢ καὶ αὐτὸ ἅπαν τὸ σῶμα, ὡς οἱ γίγαντες, ἢ ἀνθρωπίσκοι.
τῶν γὰρ ἐν ἡμῖν μελῶν, τὰ μὲν πρὸς τὸ ζῆν, τὰ δὲ πρὸς τὸ εὖ
ζῆν ἐστὶν ἐπιτήδεια· καὶ τὰ μὲν πρὸς τὸ ζῆν ἐπιτήδεια κύρια
τυγχάνει, οἷον ἐγκέφαλος, καρδία, καὶ ἧπαρ, καὶ πνεύ-
μων, καὶ γαστήρ, ὧν παθόντων τελευτᾷ τὸ ζῶον· τὰ δὲ πρὸς
τὸ εὖ ζῆν· ὀφθαλμοί εἰσι, καὶ πόδες, καὶ χεῖρες, καὶ τἆλ-
λα μόρια· τούτων γὰρ παθόντων, ζῇ μὲν τὸ ζῶον, ζῇ δὲ
οὐ καλῶς, διὰ τοῦτο καὶ τὰ αἰσθητήρια δι' ὑπερβάλλουσαν
κηδεμονίαν, διπλᾶ ἐποίησεν ὁ θεός, ἵνα τοῦ ἑτέρου παθόν-
τος, τὸ παραλειπόμενον σώζῃ τὴν αἴσθησιν· δύο γὰρ ὀφθαλμοί,

σημείωσαι περὶ τῶν κυρίων μελῶν τῶν πρὸς τὸ ζῆν τεταγμένων.

σημείωσαι περὶ τῶν πρὸς τὸ εὖ ζῆν τεταγμένων.

διατί διπλᾶ ἐποίησεν ὁ θεὸς τὰ αἰσθητήρια.

ὅτι διὸ γλῶτται ἐν πᾶσι ζῴοις::

καὶ διὸ ὦτα, διὸ πόροι τῆς ὀσφρήσεως ἀντὶ ῥινὶ πε-
ποίηκεν· καὶ διὸ γλῶτται πᾶσι τοῖς ζώοις ἡ κατὰ φύσιν,
ἀλλὰ τοῖς μὲν διῃρημένας ὡς τοῖς ὄφεσι, τοῖς δὲ συνημ-
μένας, καὶ συνωνημένας, ὡς τοῖς ἀνθρώποις· ἀλλὰ τῶν
μὲν πλείστων αἰσθητηρίων διαφθαρμένων, οὐ δὴ
ἀσ αὐτὴν τὴν ζωὴν καταβλάπτεται τὸ ζῶον· ἁφῆς

ὅτι ἁφῆς ἀπολλυμένης συναπόλλυται πᾶν ζῶον:

δὲ ἀπολλυμένης, συναπόλλυται τὸ ζῶον, πᾶν γὰρ ζῶον
ἁφὴν ἔχει· τὰς δὲ ἄλλας αἰσθήσεις, οὐ πάντα, πάσας,
ἀλλ' ἔνια ἔνια, πάσας δὲ ἔχει τὰ τελειότερα· ὁ δὲ
ἄνθρωπος τὴν ἁφὴν· καὶ τὴν γεῦσιν πλέον ἔχει τῶν ἄλλων
ζῴων, καὶ ἀκριβεστάτας, καὶ ταῖς ἄλλαις τισὶ
λειπόμενος, ἄλλο μὲν γὰρ ζῶον κατ' ἄλλην αἴσθησιν τῶν
ἄλλων τινῶν πλεονεκτεῖ τὸν ἄνθρωπον· ὁ δὲ κύων ἐν αὐτοῖς τοῖς
τισὶν ἅμα, ὀξύτερον γὰρ καὶ ἀκούει, καὶ βλέπει, καὶ ὀσ-
φραίνεται ὡς δῆλον ἐκ τῶν ἰχνευόντων· οὐ μόνον δὲ διπλᾶ
δέδωκεν τὰ μὲν τὰ αἰσθητήρια ὁ δημιουργός, ἀλλὰ καὶ αὐ-
τὰς δὲ πλείους ἐποίησεν ἔχειν αἰσθήσεις, τὴν μὲν τῶν ἰδίων
αἰσθητῶν, τὴν δὲ τῆς ἁφῆς, ὡς ἡ ὄψις, καὶ γὰρ τὰ χρώ-
ματα διακρίνει (ἡ ὄψις), καὶ τῶν θερμῶν, καὶ ψυχρῶν ἀντιλαμ-
βάνεται· ἀλλὰ τούτων μὲν ὡς σώματα· τῶν δὲ χρωμάτων
καὶ τῶν ἀναγραφῶν ὡς ὄψις. καὶ μέντοι καὶ τῷ γνωδικατάτῳ,

καὶ σωματικωτάτῃ τῶν αἰσθητηρίων, ὅ ἐστιν ἡ ἁφή,
τῆς γεώδους φύσεως αἰσθάνεται. τῶν δὲ ἀερωδῶν τῶν ἡ αἰσθητική
ἡ αἰσθητή τοῦ ἀέρος πάθη κατὰ τὴν διὰ τῆς ἀκοῆς. καὶ τῶν ὑδατώ-
δῶν δὲ διὰ τῆς γλώσσης, τοῦ ὕδατος δέ, τὸ κατὰ τὴν
γεῦσιν τῶν χυμῶν ἀντιλαμβάνεται. ἅπασαν γὰρ τῶν αἰ- διὰ τί ε̄ αἰσθήσεις
σθητῶν διὰ τῶν οἰκείων αἰσθητηρίων γνωρίζεσθαι πέφυ- εἰσὶ καὶ οὐ δ´ κατὰ τὰ
κεν. τὰ δὲ λοιπὰ κατὰ τοῦτον τὸν λόγον, ἐπειδὴ περὶ τῆς στερεᾶς ἀφο- στοιχεῖα
ρμῆς φασί, τε στερεὰς εἶναι καὶ ταύτας αἰσθήσεις, ἀλλ᾽ ἐπειδὴ
περὶ ὀσμῶν, καὶ τὸ τῶν ὀσμῶν γένος, μεταξὺ τῆς φύσεως
ἐστὶν ἀέρος καὶ ὕδατος. ἀέρος μὲν γάρ ἐστι παχυμερέ-
στερος, ὕδατος δὲ λεπτομερέστερος, τούτου χάριν καὶ ὀσ-
φρήσεως περὶ μέσον τὴν μήνιγγα ἀποδοθῆναι ὀσφραντῶν αἰσθητήριον.
ὅτι δὲ καὶ τῶν ἀτμῶν, καὶ ὀσμῶν φύσις παχυτέρα ἐστὶ
τοῦ ἀέρος, δῆλον ἐκ τῶν κόρυζαν, ἢ καταῤῥοῦν ἐχόντων.
ἕλκοντες γὰρ τὸν ἀέρα, τῶν ἀτμῶν οὐ πάντη λαμβάνονται
διὰ τὴν ἔμφραξιν, ἀλλὰ διαρκοῦσι ἐπὶ πολύ, ἀναί-
σθητοι τὴν αἴσθησιν φέροντες. ἔστι δὲ ἡ αἴσθησις οὐκ ἀλ-
λοίωσις, ἀλλὰ διάγνωσις ἀλλοιώσεως, ἀλλοιοῦνται μὲν
γὰρ τὰ αἰσθητά. διακρίνει δὲ τὴν ἀλλοίωσιν ἡ αἴσθησις.
ἔστι δὲ αἰσθητήρια μὲν ε̄. αἴσθησις δὲ μία ἡ ψυχική, ὅτι αἰσθητήρια
ἡ γνωρίζουσα διὰ τῶν αἰσθητηρίων τὰ ἐν αὐτοῖς γινόμενα μὲν ε̄ αἰσθήσεις
δὲ μία.

παθεῖν. ὅταν γὰρ λευκὸν ἴδωμεν, ἐγγίνεται πάθος τῇ ψυχῇ ἐκ τῆς καταλήψεως αὐτοῦ διὰ τῆς αἰσθήσεως, ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν αἰσθητηρίων. ἄλλο δέ ἐστιν αἴσθησις, καὶ ἄλλο αἰσθητήριον, καὶ ἄλλο αἰσθητόν, καὶ ἄλλο αἰσθητικόν.

ὅρος αἰσθήσεως.

αἴσθησις μὲν οὖν ἐστιν ἐνεργοῦσα ψυχικὴ δύναμις, διὸ καὶ οὕτως αὐτὴ ὁρίζεται· πνεῦμα νοερὸν ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένον. ἢ οὕτως· δύναμις ψυχῆς ἀντιληπτικὴ τῶν αἰσθητῶν.

Πλάτωνος περὶ αἰσθήσεως.

ὁ δὲ Πλάτων τὴν αἴσθησιν, δυνάμεως καὶ ὀργάνου κοινωνίαν πρὸς τὰ ἐκτὸς ὁρίζεται, τουτέστι ψυχῆς καὶ σώματος· ἡ γὰρ δύναμις, ψυχῆς, τὸ δὲ ὄργανον, σώματος, ἄμφω δὲ διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν.

τί ἐστιν αἰσθητήριον.

αἰσθητήριον ἐστίν, ὄργανον τῆς ἀντιλήψεως τῶν αἰσθητῶν. ἢ τὸ αἰσθήσιν εἶναι ἐμπεπιστευμένον ὄργανον.

τί αἰσθητόν.

αἰσθητὸν δέ, τὸ τῇ αἰσθήσει ὑποπῖπτον.

τί αἰσθητικόν.

αἰσθητικὸν δέ, αὐτὸ τὸ αἰσθανόμενον ζῶον.

αἰσθήσεις.

αἰσθήσεις μὲν οὖν εἰσὶ ε΄, οἷον ὅρασις, ὄσφρησις, ἀκοή, γεῦσις, καὶ ἁφή.

αἰσθητήρια.

αἰσθητήριον δέ, οἷον, ὀφθαλμός, ῥίς, γλῶσσα, καὶ τὰ λοιπά, ἃ καὶ ὄργανα αἰσθητικὰ προσαγορεύεται.

αἰσθητόν.

αἰσθητὸν δέ, ὁ λίθος, τὸ ξύλον, καὶ πάντα τὰ τῇ αἰσθήσει ὑποπίπτοντα.

αἰσθητικόν.

αἰσθητικὸν δέ, ὁ Πέτρος, ὁ Στέφανος, ὁ Μελέτιος, καὶ πάντα ὅσα ἄλλα

αἰσθάνεται ζῶα· ἔγνω γὰρ φησὶ βοῦς τὸν κτισάμενον,
καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· ἐπειδὴ καὶ κατὰ τὰς
αἰσθήσεις τὰ ἄλογα τοῖς λογικοῖς κοινωνεῖ, καλῶς τι-
νὲς τῶν ἀνατομικῶν ἀφορισάντων, μὴ δὲ κατὰ τὴν τοῦ
σώματος πολὺ διαφέρειν ἔννοιαν τῶν ζώων, σύνταξιν
καὶ ἁρμονίαν τῶν ὀστῶν, καὶ τὴν τῶν ἐγκάτων σύνθε-
σιν ἔγραψαν, καὶ μᾶλλον τῶν ἄλλων ζώων τὰ νῦν, ὅτι ἡ
ἐκ τῶν αὐτῶν στοιχείων τὰ τούτων σώματα συνεστάθη,
ἐξ ὧν καὶ τὰ τῶν ἀνθρώπων· τὰ γὰρ ὁμοιομερῆ οὐδὲν δια-
φέρει τῶν ἀμφοτέρων παρὰ μικρόν, ἃ καὶ τὰ τῶν ὀρ-
γανικῶν ὡς ἐνήλλακται, καὶ τῆς γενέσεως· ὁ γὰρ θεὸς ἔθε-
το τὰ μέλη καὶ ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι καθὼς ἠθέλησε:+

περὶ τῆς τοῦ ἀνθρώπου σώματος διαιρέσεως: +

Τὸ σῶμα δὲ τοῦ ἀνθρώπου, οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά,
ὅτι καὶ εἰς κεφαλὴν διαιρεῖται· καὶ εἰς στέρνον· καὶ ἐπιγά-
στριον καὶ ὑπογάστριον· καὶ ῥάχιν· καὶ ὀσφύν· καὶ χεῖρας·
καὶ πόδας: καὶ ἡ μὲν κεφαλὴ περιέχει ἐγκέφαλον, ὀφ-
θαλμούς, ῥῖνας, ὦτα, στόμα, καὶ τὰ ἔσω τοῦ στόματος,
γλῶσσαν λαιμόν, καὶ ὀδόντας, καὶ φάρυγγα, καὶ τὰ κα-
τὰ μέρη: τὸ δὲ στέρνον, πνεύμονα, καὶ καρδίαν: ὁ τρά-
χηλος δέ, κατακλεῖδας: αἱ πλευραί, τὸν ὑπαιζονῶνται:

ὅρα περὶ τῶν ἀνατομικῶν ἀφορισάντων:

ἡ ῥάχις, σπονδύλους, καὶ μυελόν· ἡ δ' ὀσφῦς, νεφρούς, καὶ τὰ οὐροδόχα ἀγγεῖα· τὸ δ' ἐπιγάστριον, στόμαχον, ἧπαρ, σπλῆνα, καὶ τὴν ἄνω γαστέρα· τὸ δὲ ὑπογάστριον, ἔντερα, πιμελήν, περιτόναιον(?), καὶ τὰ κατὰ τὴν ἥβην· αἱ χεῖρες δὲ βραχίονας, ὤμους, πήχεις, καρπούς, δακτύλους· οἱ πόδες, μηρούς, γόνατα, σφυρά, καὶ δακτύλους· ταῦτα δὲ πάντα καὶ ἄλλα πλεῖστα καὶ μέλη, καὶ μέρη καὶ μόρια λέγονται· καὶ τό γε(?), κατ' αὐτό τε καὶ συνωνύμως, πλὴν καὶ τὰ μείζονα μὲν καὶ ὁλοσχερεστέραν περιγραφήν, τὰ μέλη λαμβάνομεν, κατὰ δὲ ἐλάττονα τὰ μέρη· δύναται δὲ καὶ μέρος τὸ αὐτὸ λέγεσθαι καὶ μέλος· οἷον μέλος τοῦ σώματος ἡ κεφαλή, ἀλλὰ καὶ μέρος· μέρος δὲ τῆς κεφαλῆς τὸ ἰνίον, καὶ μέλος αὐτῆς ὁ ὀφθαλμός· καὶ μέλος τοῦ σώματος ἡ χείρ, μέρος δὲ τῆς χειρὸς ὁ δάκτυλος· οὕτω δὴ καὶ ἐπὶ τῶν ἄλλων ἀρκεῖται(?)· εἴρηνται δὲ μέρη ἀπὸ τοῦ μεμερίσθαι, καὶ ἄλλο ἀπ' ἄλλου διαφέρειν· μέλη δέ, ὅτι μετὰ ἁρμονίας δοκεῖ συνεστάναι τὸ σῶμα ἐκ μελῶν· ἐκ μεταφορᾶς τῶν κατὰ τὴν μουσικὴν μελῶν, κιθάρας τυχόν, ἢ αὐλῶν· καὶ αὐτὰ γὰρ μετὰ ἁρμονίας συνίστανται· τὰ δὲ μόρια, οἷα ὀργανικὰ ὄντα ὡς δι' ὅρ(?)-

τὸ κατ' αὐτό, ἤγουν συνημμένα

περὶ τοῦ μέρους

περὶ τοῦ μέλους

περὶ τοῦ μορίου



μενα, ἢ καὶ τὰ μὲν ἐρείσματα μέρη· ἡ κατασκευὴ τῶν μελῶν, — σύνθεσις ἐξ ὧν σύγκειται τῶν μελῶν:
Ἐκ σαρκὸς δὲ καὶ δέρματος, ὀστῶν, καὶ ὑμένων, χόνδρων,
καὶ μυῶν, φλεβῶν τε καὶ ἀρτηριῶν συνίστανται, τρε-
φόμενα τῇ κατ' ἀλλήλων τροφῇ, ὡς ἡ δὴ ἄρθρωται. Ἔ- — σώματος διαστάσεις:
χει δὲ τὸ σῶμα ἡμῶν διαστάσεις τρεῖς, μῆκος, βάθος,
καὶ πλάτος· τὸ δὲ συνεχὲς, καὶ συναφὲς αὐτὸ ἐπιφά- — τὸ δὲ ἐπιφάνεια
νεια λέγεται, ὥσπερ αὐτὸ ἐπιφαίνεσθαι. καὶ ταῦτα μὲν
ὡς ἐν συνόψει ἀρκείσθω, κατὰ μέρος δὲ περὶ ἑκάστου
λεχθήσεται μορίου, καὶ κράσεως, καὶ ἐνεργείας,
καὶ χρείας:+

περὶ ἐγκεφάλου :+

Ἐπεὶ δὲ πρώτη τῶν ἁπάντων μελῶν μορίων ἡ κεφα-
λὴ ὡς τῶν αἰσθήσεων ἐργαστήριον, καὶ τὸ ὑψηλότατον,
καὶ ὑπερέχον μέρος τοῦ σώματος, καὶ τιμιώτατον,
καὶ κυριώτατον, ἐν ᾗ τὸ ἡγεμονικὸν τῆς ψυχῆς βασι-
λεύει, ἀναγκαῖον ἐκ ταύτης ἄρξασθαι, καὶ τὴν δύνα- — καὶ κατὰ τὴν δύναμιν αὐτῆς
μιν, μᾶλλον δὲ τὴν σύνεσιν καὶ σοφίαν τοῦ δημιουργοῦ,
καὶ θεοῦ ἡμῶν κατασκέψασθαι, καὶ εἰπεῖν, μέγας ὁ κύριος
ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συνέσεως
αὐτοῦ οὐκ ἔστιν ἀριθμός· ἀπὸ τοῦ τοῦ θαυμασίου πατρὸς
ἡμῶν βασιλείου. Τὴν ἀρχὴν δὲ ποιησόμεθα λόγον, ἔχει
γὰρ ἕκαστος, τὴν κεφαλὴν ἐπὶ τὸ ὑψηλότατον κειμένην

τοῦ σώματος τόπον, ἵν᾽ αὐτῇ τὰς πλείστας ἀξίας τῶν αἰ-
σθήσεων. ἱδρυμένας ἔσωθεν δεῖ ἀναγκαίως(?), ὄψις, καὶ ἀκοή,
καὶ γεῦσις, καὶ ὄσφρησις· πᾶσαι γὰρ αὗται ἐγγὺς ἀλλήλων
κατῳκησμέναι(?), καὶ οὕτω περὶ ἀκρόπολιν χορείᾳ συγχο-(?)
χορούμεναι· οὐδὲν ἑκάστη παρεμποδίζεται τῇ ἐνεργεί-
περὶ ... κεφαλῆς: ᾳ τῆς γείτονος. Ἀρκτέον(?) δὲ κεφαλή, παρὰ τὸ κάρφεσθαι,
ὅ ἐστι ξηραίνεσθαι· ξηρὰ γὰρ καὶ ὀστώδης ἐστί. Τὴν
περὶ τῆς λοφιῆς λέγεται: δὲ καὶ λοφιὰν αὐτὴν λέγουσι, διὰ τὸ σκέπειν καὶ καλύ-
πτειν τὸν ἐγκέφαλον· οἱ δὲ ἀπὸ τῆς κυφότητος, τὸ γὰρ
κάρα: περιαγές, καὶ περιφερές, κῦφον λέγεται· οἱ δὲ κάρα
λέγουσιν, οἷον κάραν ἀπὸ τοῦ τετειχῶσθαι, κέρας γὰρ
κρᾶτα: ἡ θρίξ. ἢ κράατα, ἀπὸ τοῦ κράατος, ὡς ἐνταῦθα τοῦ
κρανίον: ἐγκεφάλου κειμένου(?) τυγχάνοντος. Τὸ κρανίον, παρὰ τὸ κραί-
ναν καὶ βασιλεύειν τοῦ ἄλλου σώματος, ἢ διὰ τὸ κρεμᾶ-
περὶ ἐγκεφάλου: σθαι ἐκεῖ τὸν ἐγκέφαλον. Ὁ δὲ ἐγκέφαλος, μαλθακὸς
ὢν περιέξαφ(?) ...(?), ὑγρὸς καὶ ψυχρός.
διὰ τί ἐγκέφαλος λέγεται: Λέγεται δὲ ἐγκέφαλος, παρὰ τὸ ἐγκεῖσθαι τῇ κεφαλῇ,
καὶ τὸ κάρα· ἢ οἷον ἔγκρανος, διὰ τὸ ἐγκεῖσθαι ἰδιώτε-
ρον τῷ κρανίῳ. Ὁ δὲ ἄναιμος παντελῶς, καὶ ἄφλεκτος(?).
τινὶ μᾶλλον ἥδεται ὁ ἐγκέφαλος: Ἥδεται δὲ ταῖς θερμαῖς καταστάσεσι μᾶλλον, ἢ ταῖς ψυ-
χραῖς· ἐν αἷς καὶ διυγραινόμενος τὰς μύξας διὰ τῶν

ἐκ νῶν ἀποκρίνει· μύξα γὰρ τὰ ἀπὸ καθάρματα τοῦ ἐγ- τί ἡ μύξα καὶ πόθεν
κεφάλου, ὥσπερ κουφίζεται τὸ ἡγεμονικὸν τῆς ψυχῆς
μέρος· ἐν αὐτῷ γὰρ ἵδρυσθαι τοῦτο φασί· κλύζεσθαι δὲ εἴ-
ρηται, παρὰ τὸ εἰς μυκτῆρας ἀποκρίνεσθαι· λέγεται
ὁ ἐγκέφαλος καὶ μυελός, οἷον μυχελός, ἀπὸ τοῦ ἐν ἐγκέφαλ.
μυχῷ εἰλεῖσθαι, ἢ αὐλίζεσθαι, ἢ διὰ τὸ χλαρὸς εἶναι, ἢ ἐν-
μυκοῖς τοῖς ὀστέοις τυγχάνειν· οἱ δὲ σκέποντες τοῦτον ὑμέ- πόθεν μήνιγξ.
νες, μήνιγγες λέγονται, διὰ τὸ μένειν ἐν αὐταῖς τὸν ἐγ-
κέφαλον· ἔστι δὲ κεφαλῆς σχήματα δύο, τὸ μὲν κα- κεφαλῆς σχήματα δύο
τὰ φύσιν, καὶ τὸ φοξόν· καὶ τὸ μὲν παρὰ φύσιν περι-
μήκει μάλιστα σφαίρᾳ προσέοικεν, πρὸς τὸ κάτωθεν
δὲ ὑπάρχει, ἅς τε τὸ πρόσω, καὶ τὸ ὀπίσω· τρεῖς δὲ ἔχει ὅτι ἡ κεφαλὴ τρεῖς ῥαφὰς ἔχει
τὰς πάσας ἐν ἑαυτῇ ῥαφάς, τὴν στεφανιαίαν, καὶ
τὴν λαμβδοειδῆ, καὶ τὴν κατὰ μῆκος· αὐτὸ δὲ τὸ τῶν τριῶν
ῥαφῶν σχῆμα, τῷ Χ ὁμοιοῦται γράμματι· τὸ δὲ φοξόν, περὶ τοῦ φοξοῦ
τῆς μὲν ὄπισθεν ἀπολλυμένης ἐξοχῆς, καὶ ἡ λαμβδοει-
δὴς ῥαφὴ συναπόλλυται· τῆς δ᾽ ἔμπροσθεν ἡ στεφανι-
αῖα διασώζεται, ὥστε τὸ τῶν σωζομένων ῥαφῶν σχῆ-
μα, τῷ Τ γράμματι παραπλήσιον εἶναι, καὶ ταῦτα
μὲν ἐπὶ ἀρρένων· τὸ δὲ θῆλυ μίαν ἔχει καὶ μόνην ῥαφήν, ὅτι τὸ θῆλυ μίαν καὶ μόνην ῥαφὴν ἔχει
κυκλοτερῶς περιαγομένην, καὶ περιγράφουσαν τὸ κρά-

νιον· ἐκ τούτου γὰρ τοῦ σημείου, ἐν ταῖς ῥαφαῖς ταῖς τῶν ἀνδρῶν, καὶ γυναικῶν διακρίνεται. Ἐπιγράφεται δὲ-

ὅτι αἱ τρεῖς ῥαφαὶ τῆς κεφαλῆς ῥαφαὶ τὴν τρισυπόστατον δηλοῦσι θεότητα καὶ τὰ [illegible] ἑνάς.

ται οἱ τῶν ἱερῶν, ὅτι αἱ τρεῖς ῥαφαὶ τῆς κεφαλῆς τοῦ ἄρρενος τὴν τρισυπόστατον δηλοῦσι θεότητα, πατρός, υἱοῦ, καὶ ἁγίου πνεύματος ὑφ' ὧν ἐν συμφυΐᾳ καὶ ταυτοβουλίᾳ διεπλάσθη, καὶ πρὸς τὰ ἄνω [illegible] καὶ [illegible]-θη. τὸ δὲ περὶ ἐν σχῆμα ἀποτίθεσθαι πάλιν ταῖς τρισί, τὴν οὐσιώδη, καὶ φυσικήν, ἑνότητα, καὶ τὸ ἀκέραιον ἐξα-κονίζει τῆς μιᾶς κυριότητος. ἡ δὲ ἐπὶ τῆς κεφαλῆς

ὅρα περὶ τῆς μιᾶς ῥαφῆς τοῦ θήλεος.

τοῦ θήλεως μία γραφὴ κυκλική, τὴν περιεκτικὴν, ἢ συνεκτικὴν τοῦ παντὸς κυκλοτερεστάτου αἰῶνος, καὶ κόσμου μοναδικὴν δεσποτείαν, καὶ τῆς μιᾶς, καὶ θεοπρεπε-στάτης δηλοῖ καὶ ὡς ἀπορίαν συμβολικῶς παρεκφαί(νει) καὶ παραδείκνυσι· καὶ καθάπερ ἐπὶ τῆς νοητῆς φύ-σεως τοῦ ἀνθρώπου τρία καθ' ἑκατέραν εὑρίσκεται διοργά-νωσιν, τοῦ ἄρρενος λέγω καὶ τοῦ θήλεως, νοῦς καὶ λόγος, καὶ πνεῦμα, οὕτως καὶ ἐπὶ τῆς αἰσθητῆς αὐτοῦ φύσεως.

πόθεν μέτωπον κλ(ηθῆ)·

Τῆς δὲ ὅλης κεφαλῆς, τὸ μὲν ἔμπροσθεν αὐτῆς μέτωπον προσ-λέγεται, οἷον, ὑπὲρ ὠπῶν, τὸ ὑπεράνω τῶν ὠπῶν, ἢ ὀφ-θαλμῶν. τὸ δὲ μικρὸν ἀνωτέρω βρέγμα, ὅτι καὶ δεύ-

βρέγμα· καὶ πόθεν·

ὑγρὸς καὶ ἁπαλός ἐστιν ὁ κατὰ τοῦτο τὸ μέρος ἐγκέφαλος

ἰέως πολυάρηται. τὸ δὲ μέσον, κορυφή· ὅτι τοῦ κάρα ἐστὶν
ὀροφή. τὸ δὲ ὄπισθεν ἰνίον, ἀπὸ τοῦ ἐν τῇ κατὰ βάσει,
ἀπὸ τῆς κορυφῆς κάτω ἰέναι· ἢ ἀπὸ τοῦ ἐντεῦθεν ἄρ-
χεσθαι τὰς ἶνας, ἤγουν τὰ νεῦρα· αἱ δὲ ἶνες τεταμέναι καὶ
συνισταμέναι περιέχουσι τὸ σῶμα, ἔνια δὲ περιέχεται
διὰ τοῦ σώματος. ἰνίου τὸ δὲ ζ΄ καὶ τὸ θ΄, οὐ γὰρ ἔτι σάρ-
κας ἔτι καὶ ὀστᾶ ἶνες ἔχου. τὰ δὲ πρὸς τοῖς μήνιγξιν,
ἔνθεν κἀκεῖθεν, κρόταφοι λέγονται, ὅτι κρούουσι τὴν
ἀφὴν παλλόμενοι, οἷον κρούταφοι, ἢ ὅτι συγκεκρό-
τηνται ἀμφοτέρωθεν. ἢ ὅτι τῆς κόρσης ἅπτονται, κόρ-
ση δὲ ἡ κεφαλή, ἀπὸ τοῦ κορυφοῦσθαι, ἢ ἀπὸ τοῦ κείρε-
σθαι, ἐξ οὗ καὶ κορσωτήρ, ὁ τὰς τρίχας ἀποκείρων. τὸ δὲ
περὶ τὴν κεφαλὴν ἅπασαν ὀστοῦν διῃρημένον τῇ ἐν ὑποεμ-
βολίμων ῥαφῶν, καθ' ὃν εἴρηται τρόπον, δι' ὧν τὰ περὶ τὸν
ἐγκέφαλον διαχωρίζονται διπλοσιώθεται ὀστᾶ, καὶ τὸ
περὶ ἐγκεφάλου, ἣν καὶ περικρανίδα καλοῦσιν, ἣν
μόνην ἔχειν τὸν ἄνθρωπον λέγουσιν ὑπὲρ πάντων τῶν ζώων,
ὡς εἶναι ἔξω ὀστᾶ τῆς κεφαλῆς, χωρὶς τοῦ σφηνοειδοῦς,
πρόσω μὲν τὸ μέτωπον, ὄπισθεν δὲ τὸ ἰνίον· ἑκατέρω-
θεν δὲ τῶν ὤτων τὰ δύο λιθοειδῆ λεγόμενα· ἃ δὲ τὸ ὑ-
ψηλότερον μέρος, τὰ δύο βρέγματα, ἅπερ ἔχουσι κοινὴν

κορυφή·

ἰνίον, καὶ πόθεν·

κρόταφοι, καὶ πόθεν·

κόρση ἡ κεφαλή·

κορσωτήρ·

περὶ τοῦ περὶ ὀστοῦ τῆς κεφαλῆς·

περὶ τῶν λιθοειδῶν ὀστῶν·

φύσις τῶν ἓξ ὀστῶν τῆς κεφαλῆς:

ῥαφὴν τὴν κατὰ μῆκος εὐθεῖαν· τῶν δὲ τῶν ἓξ ὀστῶν,
• τὰ μὲν τοῦ βρέγματος χαυνότατα, καὶ ἀσθενέστατα ἐστί·
πυκνότατον δὲ καὶ ἰσχυρότατον, τὸ κατὰ τὸ ἰνίον· μέσον δ'
ἀμφοῖν, τὸ κατὰ μέτωπον· τῶν δὲ λιθοειδῶν ὀστῶν,
τὸ μὲν τὸ μέρος λιθοειδές, τὸ δὲ ὀστῶδες, μανόν·
• τὸ δὲ περιεγκέφαλον, ὁμοφυὲς τῷ ἐγκεφάλου καὶ ὁμό-
χροος· ἄλλη δὲ ῥαφὴ ἐπάνω τοῦ βρέγματος διερχομένη,
καὶ πρὸς τὰ πεταλώδη ὀστᾶ, τῶν κατὰ τῶν ὤμων
κειμένων ἀποτελευτῶσα, καὶ πρὸς τὴν κορυφὴν ἐπι-
στρεφομένη, σταυροειδῶς ἑκάστη διατυποῦται· αἱ δὲ
τοιαῦται ῥαφαί, τὰ κάτωθεν ἀνερχόμενα ἐπὶ-

στομάχου καὶ γαστρὸς ἐξατμίζουσιν ἀναθυμιάσεις:

περὶ τῶν διῃρημένων τοῦ ἐγκεφάλου

περιλαμβάνεται δὲ ὁ ἐγκέφαλος ὑπὸ δύο ὑμένων, ὁ μὲν γὰρ
ὑποτέταται αὐτῷ, ὁ δὲ ἐπίκειται· ὁ καὶ δικτυωδὲς
πλέγμα παρὰ τῶν ἰατρῶν λέγεται· περιπλέκεται δ' οὖν

περὶ τοῦ δικτυώδους πλέγματος:

τὸ ὀστοῦν ἅπαν καὶ ὁ περικράνιος λεγόμενος ὑμήν· τού-
τους δὲ χορίους, καὶ μήνιγγας καλοῦσιν· καὶ ὁρα
ὢ δὲ σοφία(ν) δημιουργοῦ· διατί γὰρ μὴ διὰ μιᾶς μήνιγ-

ἀπορία:

γος τὸν ἐγκέφαλον περιεφύλαξεν, ἀλλὰ διὰ δύο, ἢ
ταύτας ἀνηλλαγμένως ἐχούσας τὴν οἰκείαν διάθεσιν· ἡ

λύσις:

μὲν γάρ ἐστι παχεῖα, ἡ δὲ λεπτή· ἃ μὲν γὰρ μὴ οὕτως αὐτοῦ

ἐν ταύταις ἐναλλήσσεται καὶ περιάς σφίγγειν, καὶ ὅσον δὲ τοῦ-
ἀσφαλῶς εἶναι, ἔμελλεν ἀνιᾶσθαι ὑπὸ τῆς τοῦ ὀστοῦ
προσψαύσεως, τραχυτέρου ὄντος, καὶ σκληρο-
τέρου. διὰ τοῦτο μεταξὺ τοῦ ὀστοῦ, καὶ τοῦ ἐγκεφά-
λου, τὴν λεπτὴν ἔθηκε μήνιγγα· ἀλλ' αὐτὴ ἡ μῆνιγξ,
τῆς μὲν τοῦ ἐγκεφάλου οὐσίας, ὀλίγον σκληροτέρα·
τοῦ δὲ ὀστοῦ ὑπάρχει μαλακωτέρα, ἔμελλεν οὖν καὶ
αὐτὴ πάσχουσά τι ὑπὸ τῶν ἔξωθεν, ἄγαν τὸν ἐγκέφα-
λον ἂν συμπαθεῖν, καὶ διὰ τοῦτο ἐποίησεν ἐν τῷ μέσῳ
ἄλλην μήνιγγα παχυτέραν· τοῦ μὲν ἐγκεφάλου κα-
τὰ πολὺ ὑπάρχουσαν σκληροτέραν· τοῦ δὲ ὀστοῦ πά-
λιν μαλακωτέραν· ὥστε τὸν ἐγκέφαλον μεσολα-
βεῖσθαι ὑπὸ τῆς λεπτῆς, καὶ παχείας μήνιγγος,
ὁμιλεῖν δὲ τὴν μὲν λεπτὴν τῷ ἐγκεφάλῳ, τὴν δὲ πα-
χεῖαν τῷ ὀστῷ, ὥστε ἧττον ὑπ' αὐτοῦ πάσχειν· ἡ δὲ λε-
πτὴ μῆνιγξ, περιλαμβάνει τὸν ἐγκέφαλον, οὐ μόνον
ὅλον, ἀλλὰ καὶ τὰ μέσα αὐτοῦ, καὶ ἐν τῷ πάντι με-
σολαβοῦσα περικρατεῖ τὴν οὐσίαν αὐτοῦ, ὥστε μὴ ὀ-
λισθαίνειν, καὶ διαρρεῖν, διὰ τὴν φυσικὴν ὑγρότητα·
καθάπερ γὰρ ὁρῶμεν, ὅτι ἀπὸ τῶν ἐρίων, οἱ μὲν τὸ
διὰ φρέατος τοῦ κόκκου, καὶ ὅλην αὐτὴν περιλαμ-

περὶ τῆς λεπτῆς μήνιγγος

περὶ κρανίου
ἐπισκοπῆσαι. ὅσων δὲ χάριν τοῦ τὴν τοῦ πο-
λεῖ καλεῖται κρανίον:

ὅτι τὸ κρανίον οὐκ ἐξ ἑνὸς ὀστοῦ:

ἢ διατί οὐκ ἐξ ἑνός:

διατί ἐγένοντο αἱ ῥαφαί:

φανοῦσι τὴν ῥοιάν. οὕτως καὶ ἐπὶ τοῦ ἐγκεφάλου, ἡ
τῆς ἀρχικάντης μήνιγγος ἐνίδαν. τοῦτο καὶ ἐπὶ τοῦ λε-
γομένου κρανίου ἀπομιμούμενον, θέσιν τε καὶ χρεί-
ας. ὥσπερ γὰρ ἡ κάνον κυκλοτερετέρας· καὶ τὴν ὅλην ἀσφα-
λίζεται κεφαλήν· οὕτω καὶ τὸ κρανίον. καὶ αὐτὸ κυκλο-
τερὲς ὂν τὸν ἐγκέφαλον ἀσφαλίζεται. ὅθεν καὶ ταύ-
της ἔτυχε τῆς προσηγορίας· οὐδὲ τοῦτο ὅμως ἐξ ἑνὸς ὀ-
στοῦ κατεσκεύασεν, ἀλλ᾽ ἐκ διαφόρων ὀστῶν, καὶ οὐ-
κ ἐχωρισμένων ἀπ᾽ ἀλλήλων, ἀλλὰ συνημμένων,
καὶ οἷον κρυπτιδωμένων. ἄγαρ ἦν ἐξ ἑνὸς ὀστοῦ, πρῶτον
μὲν συνέβαινεν τοῦ ἑνὸς αὐτοῦ μέρους πάσχοντος ὅσο-
λην τὴν κεφαλὴν διαδοθῆναι τὴν βλάβην διὰ τὴν συ-
νέχειαν τοῦ ὀστοῦ. ἔπειτα καὶ τὰς τοῦ ὅλου σώματος ἀνα-
θυμιάσεις ἐπὶ τὴν κεφαλὴν ἀναφερομένας, ὡς ἐν
ὑψηλοτάτῳ κειμένην τόπῳ, συνέβαινε μὴ διαφορεῖ-
σθαι. καὶ ἀρχομένων αὐτῶν, καὶ προσιζανομένων τῇ
κεφαλῇ τῶν περιττωμάτων πλείστων νόσων αἰτίους γίνε-
σθαι τῷ ἐγκεφάλῳ τὰς ἀναθυμιάσεις. διὰ ταῦτα συ-
νημμένων τῶν ὀστῶν ὄντων ἐγένοντο αἱ ῥαφαί, (καθά-
περ ἕτερον ἁρμόζεται) τὰ περιττὰ ἐξωθοῦσαι, καὶ τὴν
κεφαλὴν σὺν τῷ ἐγκεφάλῳ διατηροῦσαι ἀπήμονα,

ἡ μὲν οὖν μικρὰ κεφαλή, μοχθηρᾶς ἐγκεφάλου κατα-
σκευῆς ἴδιον σημεῖον· οἱ γὰρ τὰς μικρὰς ἔχοντες κεφα-
λάς, οὐ δύνανται τὰς αὐτὰς ἐπιτελεῖν ἐνεργείας, ἃς
ἐπιτελοῦσιν οἱ μεγάλας ἔχοντες. ἐπειδὴ γὰρ ὁ ἐγκέ-
φαλος πάσας ποιεῖται τὰς ἐνεργείας τοῦ σώματος, αὐ-
τὸς γάρ ἐστιν ὁ διὰ τῶν αἰσθήσεων ἐνεργῶν· ὡς προείπο-
μεν ἀνωτέρω· αὐτὸς ὁ κινῶν πάντα τὰ τοῦ σώματος μό-
ρια, καὶ γὰρ ἂν καὶ δάκτυλον ἄκρον ἐν ποδὶ κινοῖτο, ὁ ἐγκέ-
φαλος ταύτην ἐκίνησεν· ποιεῖται δὲ ταύτας διὰ τοῦ ψυ-
χικοῦ πνεύματος· δεῖται δηλονότι πολὺ τούτου, πολὺ δὲ οὐκ ἂν
χωρήσειεν εἰς μικρότατον ὄργανον· ἀλλ' ἀνάγκη ἐκ τῆς
οὔσης στενῆς τῆς κεφαλῆς εὐρυχωρίας, καταπνίγε-
σθαι καὶ κατασβέννυσθαι τὸ ψυχικὸν πνεῦμα, καὶ σὺν
τούτῳ τὰς ὑπ' αὐτοῦ γενομένας ἐνεργείας. πλὴν δὲ
ἡ μὲν μικρὰ κεφαλὴ ἀεὶ μοχθηρά· ἡ δὲ μεγάλη
οὐ πάντως ἀγαθή, ἀλλὰ ποτὲ μὲν χρηστή, ποτὲ δὲ οὐ χρη-
στή, φύσει λέγω, ἀλλ' οὐκ ἐκ νόσου ὑπερχομένης· ἡ
μὲν οὖν γενομένη διὰ πλῆθος ὕλης χρηστῆς, καὶ ῥώμην
τῆς ἐγχωρίου δυνάμεως ἐστὶν αὕτη ἀγαθὴ ὑπάρχει κατὰ φύ-
σιν· ἡ δὲ διὰ πλῆθος ὕλης νικῶσα τὴν μικρὰν, τὴν μι-
καύτην ἔσται μοχθηρά, καὶ νοσώδης· καὶ ταῦτα διὰ

Ὅτι ὁ ἐγκέφαλος ποιεῖ πάσας τὰς ἐνεργείας τοῦ σώματος:

ὅτι ὁ ἐγκέφαλος κινεῖ πάντα τὰ τοῦ σώματος μόρια ἢ διά τινος:

περὶ μικρᾶς κεφαλῆς:
περὶ μεγάλης κεφαλῆς:

τὸν ἐγκέφαλον γεγονυῖα, πρὸς γὰρ τὸ περιεχόμενον, καὶ ἡ τοῦ περιέχοντος φύσις κατεσκευάσθη· καὶ ὅρα δημιουργίαν, ἤτοι κηδεμονίαν δημιουργοῦ, καὶ μάλιστα ὧδε πρὸς τὸν ἐγκέφαλον, καὶ ὅσην αὐτῷ ἐχαρίσατο τὴν ἀσφάλειαν· οὐ γὰρ ἠρκέσθη τῶν εἰρημένων ὑμένων, ἤγουν μηνίγγων περιοχῇ, καὶ ὀστρακώσει, καὶ τῇ τοῦ λεγομένου κρανίου ὀστοῦ περιβολῇ τὸν ἐγκέφαλον φρουρεῖσθαι, καὶ περισκέπεσθαι, πρὸς τὴν ἱκανὴν ἀσφάλειαν· ἀλλὰ σὺν τούτοις καὶ δέρματι αὐτὸν ἔξωθεν μετὰ τῶν τριχῶν διεσκέπασεν· ἵνα μὴ ἐν ταῖς μεταβολαῖς τῶν ἀέρων βλάπτηται, καὶ ἀνιᾶται. ταῖς θριξὶ γὰρ διὰ τοῦτο ὠρόφωται ἡ κεφαλή, καὶ ἐνεργὰ ὁ πλάστης ὡς κυριώτατον ἐποίησεν ἔχειν, ἵνα μὴ τὰ περιττώματα συστελλόμενα πλεῖστον αὐτῷ συμπτωμάτων αἴτια γένηται: ὥσπερ τοίνυν καὶ ἐπὶ τῆς γαστρὸς βλέπομεν, καὶ διαγινώσκομεν τὴν ἐνέργειαν αὐτῆς ἐκ τῶν περιττωμάτων· καὶ ἃ μὲν πεπεμμένα ἐστὶ τὰ διαχωρήματα, λέγομεν τὴν γαστέρα καλῶς πέττειν· εἰ δὲ ἄπεπτα, οὐ καλῶς· οὕτως καὶ ἐπὶ τοῦ ἐγκεφάλου ἐκ τῶν περιττωμάτων αὐτοῦ τὰς ἐνεργείας γνωρίζομεν. πρὸς γὰρ ταῖς εἰρημέναις ἀνωτέρω ῥαφαῖς καθαίρεται

ὅρα κηδεμονίαν δημιουργοῦ πρὸς τὸν ἐγκέφαλον:

διὰ τί δέρμα καὶ τρίχες:

πῶς γνωρίζομεν τὰς ἐνεργείας τοῦ ἐγκεφάλου:

αὐτοῦ, καὶ διὰ τῶν μυκτήρων, καὶ ὤτων, καὶ ὀφθαλμῶν, καὶ τοῦ λεγομένου τρήματος, ὃ χώνην τινὲς ὀνόμασαν, ἀπὸ τῆς πρὸς ἐκείνην ὁμοιώσεως, ὃ τῆς φύσεως ἐμηχανήσατο κήδιος: χώνην δὲ τὸ τρῆμα λέγουσιν, ἐπειδὴ ἀπὸ εὐρυτέρας βάσεως ἐρχόμενον, ἐς στενοχωρότερον τελευτᾷ πόρον· ἐπειδὴ καὶ μύες πολλοὶ κατὰ τὴν κεφαλήν, καὶ τὸν ἐγκέφαλον εἰσίν, μᾶλλον δὲ καὶ κατὰ παντὸς τοῦ σώματος, εἴπωμεν τὴν τούτων ἐνέργειαν, καὶ χρείαν, οἵαν μετὰ τοῦ ἐγκεφάλου ποιοῦνται. διὰ ταύτην γὰρ χρείαν τῷ ἐγκεφάλῳ παρέχουσιν, οἵαν τῷ ἡνιόχῳ ὁ χαλινὸς ἐν τῷ ἅρματι. ὥσπερ γὰρ ἐπ᾽ ἐκείνου ἐστὶ μὲν ὁ ἡνίοχος, εἰσὶ δὲ καὶ αἱ ἡνίαι, καὶ μετὰ τὰς ἡνίας ὁ χαλινός, ἠρτημένος μὲν ἀπὸ τῶν ἡνιῶν, συνδεδεμένος δὲ τοῖς ἵπποις, εἰσὶ δὲ καὶ αὐτοὶ οἱ ἵπποι. οὕτως καὶ ἐπὶ τοῦ ἡμετέρου σώματος ἡνιοχεῖ μὲν αὐτὸς ὁ ἐγκέφαλος, ἡνία δὲ αὐτοῦ τὰ νεῦρα, χαλινοὶ δὲ αὐτοῦ οἱ μύες, ἵπποι δὲ τὰ λοιπὰ μόρια, καὶ ὁ μὲν ἐγκέφαλος πρῶτον ταῖς ἡνίαις χρώμενος, ἢ περιάγει τὸ σῶμα περὶ τὰ πλάγια, ἢ εἰς τὰ ὀπίσω ἀναχαιτίζει, ἢ πρόσω ἐπιτρέπει φέρεσθαι. ὁ δὲ χαλινὸς ἠρτημένος ταῖς ἡνίαις κατὰ συμβεβηκὸς

ὅτι χώνην τὸ τρῆμα.

περὶ μυῶν

ἕπεσθαι ποιεῖ τὰ μόρια τῷ πρώτῳ κινοῦντι· οὐ-
κοῦν οἱ μὲν ἐκ χειρῶν χαλκινοῦ τῷ ἐγκεφάλῳ παρέ-
χουσιν, ἐνέργειαν δὲ τοιαύτην τὴν κινητικήν· ὁ δὲ
νωτιαῖος καλούμενος μυελὸς, ἀπόρροιά τίς ἐστι τοῦ
ἐγκεφάλου, καὶ οἷον ἀπὸ πηγῆς τινος ῥύακα καμμάτ(ων)
προϊόντος, τῆς μὲν πηγῆς αὐτῆς, ἀτύχα περιφε-
ρὲς ἐχούσης σχῆμα, τοῦ δὲ ῥύακος ἐπιμήκους ἐκ-
τεινομένου· ἐπεὶ οὖν ὁ νωτιαῖος οὕτως, τοῦ ἐγκεφάλου
μοῖρά τίς ἐστι, περιέχεται δὲ ἐν ὀστοῖς, ἢ ἐν τοῖς σπονδύ-
λοις τῆς ῥάχεως, ἀνάγκη καὶ τοὺς σπονδύλους τοιούτους
ἀπὸ τῆς φύσεως γεγενῆσθαι, οἷος καὶ ὁ μυελὸς, καὶ διὰ
τοῦτο κοινωνίαν ἔχειν αὐτὸν φυσικὴν μετὰ τῶν ὀστῶν.
πρὸς γὰρ τὴν τοῦ περιεχομένου φύσιν, καὶ τὸ περι-
έχον δεδημιούργηται· καὶ ὅρα πῶς ἀπὸ ταὐτοῦ
σώματος ὅσα πρὸς τὸ ὑποκείμενον ἔχει τὴν οἰκειότητα· τῶν γὰρ
σπονδύλων ἀπὸ τῶν τῆς συνόδου τὴν ἀρχὴν ἐκ τῆς ῥά-
χεως ἐποιήσατο, εἴ τις τὴν αὐτὴν ἀναλογίαν τῶν ἡμε-
τέρων σωμάτων φυλάττοι, ὁμοίως καὶ εἴπερ ἐστὶ τῆς νόσου
πρὸς ταύτας αὐτὴν ἀπασαλλόμενα ξύλα· ὥσπερ γὰρ τὰ
ἀκάνθινα ἀνάγκη πάντα τὰ ξύλα εἶναι· καὶ ἃ μὲν ὑπὸ-
τῆς μεγάλης, μεγάλα καὶ τὰ ξύλα· ἃ δὲ μικρὰ

περὶ τοῦ νωτιαίου μυελοῦ:

περὶ ὀστῶν:

ὅρα περὶ ... τελεῖ ... τῶν σπονδύλων ...

ὁμοίως καὶ τὰ ξύλα· οὕτως ἔχει, καὶ κατὰ τὴν ῥά-
χιν, καὶ ὡς ἂν ἔχῃ αὕτη, καὶ αἱ πρὸς αὐτὴν διηρθρω-
μέναι πλευραὶ αἱ ἔξω· καὶ αἱ ὠμοπλάται πρὸς δὲ τοῖς ὤμο-
πλάταις, βραχίονες, καὶ πήχεις, καὶ κερκίς, καὶ τὰ τῆς
ἄκρας χειρὸς ὀστᾶ. Καὶ πάλιν πρὸς τὴν ῥάχιν,
τὰ τῆς λαγόνος ὀστᾶ, πρὸς ἃ διηρθρωνται, ὁ μηρός,
καὶ πρὸς ἐκεῖνον ἡ κνήμη, καὶ ἡ περόνη, καὶ πρὸς
ταύταις τὰ τοῦ ποδὸς ὀστᾶ. Ἐν τούτοις δὲ αὐτῶν καὶ ἡ κίνη-
σις γίνεται διὰ νεύρων καὶ μυῶν ἐξ ἐγκεφάλου, καὶ τοῦ τῶν
κινουμένων κατὰ τὴν μεγάλην τοῦ θεοῦ βουλήν τε, καὶ
πρόνοιαν: μύες δὲ λέγονται, παρὰ τὸ μύειν ἐν ταῖς οἰ-
κείαις ἐνεργείαις· συστελλόμενοι γάρ, καὶ ἐπὶ τὴν οἰ-
κείαν ἀρχὴν ἀνατρέχοντες διὰ τῆς συστολῆς κινοῦσι τὰ
ὑπ' αὐτῶν κινούμενα μόρια: τινὲς δὲ λέγουσιν ὅτι
μυοειδεῖς εἰσὶ καὶ ἀπὸ τῆς ... ἀποτελοῦσιν, ὡς ἐμφέ-
ρειαν ἔχοντες πρὸς τὰ τοῦ ζώου ... ἀνά-
λογον, ὡς περ ... τὴν ὀνομασίαν ἔσχον παρὰ
τὸν ... πρὸς αὐτόν· τὸν αὐτὸν δὲ τρόπον, καὶ αὐτὰ τὰ
τοῖς μυσὶν ἐνεργεῖ, μᾶλλον δὲ οἱ μύες τὰ τῶν νεύρων, ὥσ-
περ γὰρ παρὰ τὸ νεύειν, νεῦρον· οὕτω καὶ παρὰ τὸ μύειν,
μύες. οὐκ ἔστι δὲ ἁπλῆ ἡ τῶν μυῶν οὐσία, ἀλλὰ σύν-

βραχίων, πῆχυς, κερκίς.
καὶ τὰ ἄκρας ὀστᾶ τῆς χειρός· λαγόνος ὀστᾶ.
ὀρθῶς ... κίνησις.
πόθεν μύες.
... οἱ μύες ...
ὅτι σύνθετος ἡ οὐσία τῶν μυῶν.

ὅρα περὶ ἰνῶν

θετος, ἐκ τ' ἰνῶν, καὶ ὀστρακώδους οὐσίας· τῶν δὲ ἰνῶν, αἱ μὲν ἀπὸ τῶν νεύρων εἰσί, αἱ δὲ ἀπὸ τῶν ὀστωδεστέρων μορίων, οἷς συνυφαίνειν(?) ἐκφύσεις τὴν ὀστρακώδη οὐσίαν, καὶ διὰ τὸ μὴ βλάπτεσθαι ῥᾳδίως, ἀλλ' ὡς ἐπὶ πολὺ ἀναπαύεσθαι, καὶ ἵνα ἐν ταῖς ἀμέτροις κινήσεσι ἀχρειότεραι(?) γενόμεναι καθυγραίνονται, καὶ τὴν ἐκ τῶν ὀστρακωδῶν δέχονται παραμυθίαν· ζητοῦσι δέ τινες διὰ τί τὸ τῆς κεφαλῆς σχῆμα σφαιροειδές ἐστι, καὶ μὴ μᾶλλον ἢ τρίγωνον, ἢ τετράγωνον, ἢ ὀξύγωνον, ἢ κωνοειδές·

ἀπορ(ία)· διὰ τί ἡ κεφαλὴ σφαιροειδής:+

λύσις:

α Καὶ λέγομεν τούτου τρεῖς αἰτίας, μίαν μέν, ὅτι τὸ τοιοῦτον σχῆμα δυσπαθέστερόν ἐστι τῶν ἄλλων σχημάτων, ὅσα γὰρ ἔχει γωνίας, εὐκόλως ὑπὸ τῶν ἔξωθεν αἰτίοις ἀπόλλυνται(?) καὶ ἐντυγχάνοντα τὴν ἑαυτῶν ἀκμὴν θραύουσι:

β ὅτι τὰ κυκλικὰ σχήματα τῶν ἴσων περιμέτρων ἁπάντων πολυχωρητότερα:

δεύτερον δὲ ὅτι ἀποδέδεικται τοῖς γεωμέτραις τὰ κυκλικὰ σχήματα τῶν ἴσων περιμέτρων σχημάτων ἁπάντων, τριγώνων τε καὶ τετραγώνων, καὶ πολυγώνων, πολυχωρητότερα ὄντα· ἡ πρόνοια οὖν ἀδῆλα(?)

γ ὅρα πρόνοι(αν):

ὅρα περὶ τρία(?) ἡ κεφαλὴ ἐν ἑαυτῇ:

ὅτι ἡ κεφαλὴ τὸν ἐγκέφαλον ἔχειν ἀσφαλεῖ(?), καὶ μήνιγγα μετ' αὐτοῦ, παχεῖαν τε, καὶ λεπτήν, καὶ τὸ δικτυωδὲς πλέγμα. καὶ τὰς τῶν νεύρων ἑπτὰ συζυγίας, καὶ τὰ τῶν αἰσθήσεων οἰκητήρια, ὀφθαλμούς, ὦτα, ῥῖν(ας),

καὶ τὰ ἔσω τοῦ σώματος· καὶ τὰς ἄλλας ποιότητας, ἃς

καὶ κοιλίας λέγουσιν, καὶ τὸ πνεῦμα ψυχικὸν, ψυχικῆς ἐνεργείας

ὑπηρετούμενον, ἀπό τινος τῆς κεφαλῆς σχήματος τοιούτου

ἐκπλέξασθαι· ἡ δὲ τρίτη αἰτία, πλάτωνός ἐστι γλυκεῖα, γ πλάτων ἐν τιμαίῳ

ἐν τῷ περὶ τιμαίου, φησὶ γάρ, ἐπειδὴ ἔμελλεν ἡ φύ-

σις κόσμον ποιεῖν, ψυχῆς τε, καὶ νοῦ οἰκητήριον, ἵνα κι-

νεῖσθαι καλοῦσα αὐτὸ κυκλοτερὲς τοῦ ὅπου· ὡς

ἀνόμοιον οἰκήματα σιοῦσα, ὅμοιον τοῦ παντὸς αὐτῆς σχῆ-

μα κατειργάσατο· τοῦτο δὲ ἀρκῶς ὁ φιλόσοφος τὴν δόξα φιλοσόφων περὶ οἰκήσεως ψυχῆς

σελήνης μετέχουσιν δοξάζων, καὶ τὴν ψυχὴν ἐν τῷ ἡγε-

μονικῷ οἰκεῖν, καὶ μὴ ἐν ὅλῳ τῷ σώματι φλυαρῶν·

ἐπὶ τοῦ περὶ τὰς ψυχὰς ἀλλαμβανόμενος· ἡμεῖς

δὲ λέγομεν, ὅτι κυκλοτερὲς σχῆμα τῆς κεφαλῆς

ὑπάρχει, οὐ μόνον διὰ τὸ εὐπερίτρεπτον, τὰ γὰρ σφαιρο-

ειδῆ τῶν ἄλλων εἰδῶν οἰκημάτων κρατῆναι τῶν κατὰ

κίνησιν ἀσθένειαν, ἀλλὰ καὶ διὰ τὸ κατ' αὐτὴν τῆς τοῦ

νοὸς ἐνεργείας· ἔδει γὰρ τὸ ὑπερκείμενον τοῦ σώματος

ὅλου μέρος κυκλοτερές τι εἶναι, καὶ ταύτης ἀρχῆς ἐκεῖ-

θεν γνωρίζεσθαι, ἵνα ὡς τις ἄριστος κυβερνήτης ὁ νοῦς, ὅρα κυβερνήτην νοῦν

ἐπὶ τὸν οἴακα καθήμενος, πηδαλιουχεῖ τὸ σῶμα αὐτῶν,

καὶ διασώζει· ἐξετάζομεν ἔχων καὶ τὰς αἰσθήσεις· καθὼς

ὁ μέγας Βασίλειος· ἔτι καὶ ὄψις, καὶ ἀκοή, καὶ ὄσφρη-
σις, καὶ γεῦσις, καὶ πάλιν, ὀφθαλμοὶ μὲν τὴν ὑψηλοτά-
την σκοπιὰν κατειλήφασιν, ὡς μηδὲν αὐτοῖς τῶν τοῦ
σώματος μορίων ἐπιπροσθεῖν, ἀλλὰ μικρᾷ τινι προ-
βολῇ τῶν ὀφρύων ὑποκαθήμενοι ἐκ τῆς ἄνωθεν ἐ-
ξοχῆς [illegible] ἀπολύονται. Καὶ ταῦτα μὲν πε-
ρὶ τῆς κεφαλῆς: —

Περὶ ὀφθαλμῶν

περὶ ὀφθαλμ(ῶν)

Ἐπεὶ δὲ ἀνάξιον ἡμῖν κατὰ πᾶν μέρος ἡμῶν τοῦ δη-
μιουργοῦ θεοῦ ἡμῶν τὴν σοφίαν ἐκπλήττεσθαι, καὶ θαυ-
μάζειν· ἴδωμεν μετὰ τὴν κεφαλὴν, καὶ τὰς τῶν ὀφθαλ-
μῶν συνθέσεις, καὶ ἐνεργείας, καὶ χρείας, καὶ ὀνο-
μασίας, καὶ τὸν ἀριθμὸν τῶν χιτώνων, καὶ τῶν ὑγρῶν
τὴν ποσότητα, καὶ τὰ οὐσιωδῶς ὑπάρχοντα τῶν ὀφθαλ-
μῶν, καὶ τὰ κατὰ συμβεβηκὸς αὐτῶν περιγινόμενα.

τὰ οὐσιώδη καὶ τὰ τῶν ὀφθαλμ(ῶν).

οὐσιώδης μὲν οὖν αὐτοῦ, ἡ κρᾶσις, ψυχρὰ, ἢ θερμὴ,
ξηρὰ, ἢ ὑγρά· καὶ ἐν τοῖς ὁμοιομερέσιν αὐτοῦ, τὸ μα-
λακόν, ἢ σκληρόν· τὸ εὐκίνητον, ἢ τὸ δυσκίνητον· καὶ ἐν
ὅλῳ δὲ τῷ ὀργάνῳ, ἡ κατὰ μέγεθος ἀμετρία, ἢ συμ-
μετρία· καὶ ἡ κατὰ διάπλασιν αὐτοῦ εὐρυθμία,
καὶ ἀρρυθμία· καὶ πρὸς τούτοις ἡ τῶν ἐνεργειῶν ἀρε

τῆς τε καὶ κακίας, διαγινώσκοντα δὲ ἢ θερμοὶ ὦσιν, ἢ
ψυχροὶ, οὕτως· εἰ μὲν γὰρ θερμότης ᾖ ἐν αὐτοῖς,
εὐρύφλεβοι οἱ τοιοῦτοι, καὶ φανερὰς αὐτὰς ἔχου-
σιν· εἰ δὲ ψυχρότης, οὐ φανερὰς, ἀλλὰ κεκρυμ-
μένας· τὴν ξηρότητα τῶν ὀφθαλμῶν καὶ ὑγρότητα
διαγνωσόμεθα, ἀπό τε τοῦ σκληρὸν, ἢ αὐχμηρὸν,
ἢ μαλακόν τε καὶ ὑγρὸν εἶναι τὸν ὀφθαλμόν· καὶ
ὁ μὲν ὑγρὸς καὶ μαλακὸς εὐδιάγνωστός ἐστιν· ὁ δὲ
σκληρὸς, καὶ αὐχμηρὸς οὐ σφόδρα· οὐ κωλύει ἐκ τῆς
ἔξωθεν βασάνου διαγινώσκεσθαι, πολλοὺς γὰρ ὁρῶ-
μεν ἐν καπνῷ στῆναι μὴ δυναμένους, ἀλλὰ δακρύ-
οντας πολλά· ἄλλους δὲ σφόδρα πλεῖστον καπνὸν ἀ-
πολαύοντας· καί εἰσιν οἱ μὲν πρῶτοι, ὑγροί τε, καὶ εὐ-
παθεῖς, οἱ δὲ δεύτεροι, σκληροί τε, καὶ δυσπαθεῖς·
ταῦτα τὰ οὐσιώδη σημεῖα τῶν ὀφθαλμῶν· τὰ δὲ ἀπὸ
συμβεβηκότων ὧδε· ὅτε εἴη ὁ ὀφθαλμὸς, ἢ μέγας
ἐστὶν, ἢ μικρὸς, καὶ ἢ εὔρυθμος· ἀλλ' εἰ μὲν μέγας εἴη
σὺν εὐρυθμίᾳ, δηλοῖ καὶ πλῆθος ὕλης, καὶ εὐκρα-
σίαν αὐτῆς· εἰ δὲ μέγας μὲν ἄν, ἀλλ' ἄρρυθμος, ση-
μαίνει πλῆθος μὲν, ἀλλὰ μοχθηρὸν, καὶ δυνάμεως
ἀσθένειαν, καθὰ καὶ περὶ τῆς κεφαλῆς εἴρηται:

περὶ τοῦ γινώσκειν εἰ οἱ ὀφθαλμοὶ ἢ θερμοί εἰσι, ἢ ψυχροί:

περὶ τοῦ γινώσκειν τὴν ξηρότητα, καὶ ὑγρότητα τῶν ὀφθαλμῶν:

τὰ ἀπὸ συμβεβηκότος σημεῖα.

Εἰ δὲ μικρὸς ᾖ καὶ ἄρρυθμος, σημαίνει ἐνδεᾶ μὲν ὕ-
λης, εὐχρηστότητα δέ· εἰ δὲ μικρὸς ᾖ, καὶ ἀνάρρυθ-
μος, σημαίνει καὶ ἐνδεᾶ ὕλης, καὶ δυνάμεως ἀ-
τονίαν. ταῦτα περὶ τῆς τῶν ὀφθαλμῶν κράσεως, ἢ
σχήματος, καὶ μεγέθους· ζητήσωμεν καὶ τὰς τῶν δια-
φόρων ἐν αὐτοῖς χρωμάτων αἰτίας. ὁρῶμεν γάρ, τοὺς
μὲν μέλανας ἔχοντας τοὺς ὀφθαλμούς. τοὺς δὲ γλαυ-
κούς, τοὺς δὲ χαροπούς· δεῖ τοίνυν εἰδέναι, ὅτι ὀφθαλ-
μός, καὶ πολλοῖς ὀνόμασιν ὀνομάζεται, καὶ ἐκ πλειόνων
σύγκειται μορίων· τῶν μὲν ὑγρῶν, τῶν δὲ ξηρῶν χι-
τώνων· καὶ ἵνα τούτων εἴπωμεν τά τε ὀνόματα, καὶ
τὸν ἀριθμόν, καὶ τὰς ἐκφύσεις, καὶ τὰς χρείας, καὶ
ἐνεργείας αὐτῶν ἐνθένδε ἀρξώμεθα:— περὶ ὀφθαλμῶν :+

Δεῖ δὲ εἰδέναι, ὅτι ἀπὸ τοῦ ἐγκεφάλου φέρονται δύο νεῦρα
τὰ ὀπτικὰ καὶ προσαγορευόμενα· πρῶτον γὰρ ταύτῃ
τῇ αἰσθήσει πέπομφεν ὁ ἐγκέφαλος νεῦρα, ἔστι δὲ ἐκ
τῶν πάντων ἰσομεγ· διαφέρει δὲ ταῦτα τῶν ἄλλων νεύρων,
ὅτι ταῦτα μὲν ἐν τῷ παντὶ σώματι ἀναπέπταται·: καὶ κοῖ-
λα· τὰ δὲ τῶν ὀφθαλμῶν αὐλοειδῆ καὶ τετρημμένα,
ἵνα σωλήνων δίκην τὸ ὀπτικὸν πνεῦμα, τοῖς ὀφθαλμοῖς
ὀχετεύσῃ· ταῦτα τοίνυν ἐκβάλλονται ἀπὸ τοῦ ὀχετομένη

περὶ τῶν αἰτιῶν τῶν χρωμάτων τῶν ὀφθαλμῶν :+

ὅρα περὶ νεύρων τῶν φερομένων ἀπὸ τοῦ ἐγκεφάλου :+

καὶ ποῖαι τρεῖς, καὶ ποῖαι ...

θαλάμοις τῶν ὀφθαλμῶν· θάλαμος δὲ λέγεται τὸ
ἔσω τοῦ ὀφθαλμοῦ ἐν ᾧ οἱ χιτῶνες ἑνοῦνται, καὶ αὐτὸ
τὸ φῶς ἐνοικεῖ· παρὰ γὰρ τὸ θάλπειν γίνεται θάλπαμος,
καὶ θάλαμος, ἀφ' οὗ καὶ οἱ νέοι θαλαμεύονται· διὰ γὰρ
θάλπονται πασώματα ἔχοντες αὐτῶν σκηνεῖναι καὶ μετα-
προσφερικότα· καὶ γὰρ ἡσίοδος φησί, ὡραῖος δὲ γυναῖ-
κα τεὸν ποτὶ οἶκον ἄγεσθαι· διασχίζοντα δὲ τὰ νεῦρα
εἰς τὸ ἴσον θαλάμοις, ὥσπερ ἅτις λαμπὰν πάπυρον
ταύτην ἀπὸ λεπτὰ κατὰ τὸ μέσον, καὶ διασχίσας, ἀνα-
πλέκει τὸ πάλιν καὶ ποιεῖ χιτῶνα τὸν λεγόμενον ἀμφι-
βληστροειδῆ, ὅμοιον ἀμφιβλήστρῳ, ὄργανον δὲ τοῦτο
θηρατικὸν ἰχθύων: μετὰ τοῦτον εἰ τὸν χιτῶνα ὁ δεύτερος
χιτὼν λεγόμενος ῥαγοειδής, ὅτι ῥαγὶ σταφυλῆς
ἔοικε κατὰ τὸ σχῆμα, καὶ καθάπερ ἐπὶ τῆς σταφυ-
λῆς ὁρῶμεν, τὰ μὲν ἔσω δασύτερα, τὰ δὲ ἔξω λεῖα·
οὕτω καὶ ἐπὶ τοῦ ῥαγοειδοῦς χιτῶνος· ἐκπέφυκε δὲ
οὗτος διὰ τῆς λεπτῆς προσαγορευομένης μήνιγγος·
ἐκ δὲ τῆς παχείας, ὁ κερατοειδής· ὀνόμασται δὲ
οὕτως, διὰ τὸ προσεμφερὲς τοῖς κέρασιν, κατὰ
γε τὸ χρῶμα, λευκὸν γάρ ἐστι, καὶ ὅτι ἀσθενῶς δύναται ἀνα-
λύεσθαι ὥσπερ κέρατα· καὶ ὅτι μιμεῖται τὴν ἐκείνων

πῶς λέγεται θάλαμος τοῦ ὀφθαλμοῦ:
πόθεν θάλαμος:

περὶ χιτῶνος ἀμφιβληστροειδοῦς:
περὶ τοῦ δευτέρου χιτῶνος:

πόθεν ἐκπέφυκε:

περὶ τοῦ τρίτου χιτῶνος τοῦ λεγομένου κερατοειδοῦς:

ὁ ἐπιπεφυκ(ώς). διαφοράν. ὁ δὲ ἐπιπεφυκώς, ἀπὸ τοῦ περικρανίου
λεγομένου ὑμένος ἔχει τὴν ἔκφυσιν, ὃς τὴν ἀρχὴν
ἔχει ἀπό τινος μοίρας τῆς παχείας μήνιγγος, ἐξι-
ούσης διὰ τῶν τῆς κεφαλῆς ῥαφῶν τῶν ἁρμονιῶν· τῆς
τίς ἡ τάξις τῶν χιτώνων: τε στεφανιαίας, καὶ τῆς λαμβδοειδοῦς. ἡ δὲ τάξις
χρεία ἀμφιβληστροειδοῦς: τῶν εἰρημένων χιτώνων τοιαύτη, ὁ ἀμφιβληστροειδὴς,
στήριγμά ἐστιν ἔνδοθεν τοῦ παντὸς σώματος τοῦ ὀφθαλ-
μοῦ. ὁ δὲ ἐπιπεφυκώς, ἔξωθεν. μεταξὺ δὲ τούτων
ἐστὶν ὁ μὲν κερατοειδὴς πρὸς τὸν ἐπιπεφυκότα ἔξω. ὁ
χρεία ῥαγοειδοῦς: δὲ ῥαγοειδής, πρὸς τὸν ἀμφιβληστροειδῆ ἔσω. χρεία
τοῦ μὲν ῥαγοειδοῦς ἵνα καὶ αὐτοῦ τοῦ τρήματος τῆς κόρης
γίνηται, δι' οὗ τὸ ὀπτικὸν ἔξεισι φῶς. συμβάλλεται
δὲ καὶ ἄλλως παραθάλπων τὸ κρυσταλλοειδὲς ὑγρόν,
διὸ καὶ δασὺς γέγονε. καὶ σπογγώδης, ἵνα μὴ τι χυμα-
νᾶται τῆς κόρης. ἀλλὰ καὶ δι' αὐτὸ δέχεσθαι καὶ φλέβας
ὑποδέξασθαι πλείονας. ἐπεὶ δὲ τοιοῦτος ὤν,
ἔμελλεν ἐμποδίζειν τὸ ὀπτικὸν πνεῦμα, ὅσον ἐξιὸν καὶ διὰ
τοῦτο τέτρηται. ἔξωθεν δὲ πυκνός ἐστι πρὸς τὸ μὴ συγ-
χωρεῖν διαφορεῖσθαι τὸ σῶμα. ἀλλὰ καὶ κατὰ τὸ χρῶ-
μα παραμυθεῖται τὰς ἐκ τῶν ἀμέτρων διακρίσεων,
καὶ συγκρίσεων βλάβας. τὸ μέλαν τε εἶναι ἅμα καὶ

λαυκός, διακρίνεται δὲ ὑπὸ τῶν ἄγαν λευκῶν, συγκρί-
νεται δὲ ὑπὸ τῶν ἄγαν μελάνων. τοῦ δὲ κυανοῦ ὑπὸ-τὸ
ἐκ κατέρθου μετέχοντος χρώματος, ὡς συμμετρεῖ
ἀγαθὸν ὀφθαλμόν, καὶ παραμυθεῖται. ὁ κερατο-
ειδὴς δὲ ἐγένετο ἵνα σφίγγῃ, καὶ ἀπὸ φρεατίτην τὸ φῶμα
τικὸν μόριον, ἵνα μὴ δι᾽ αὐτοῦ τὰ ὑγρὰ ἐκχέοιτο· ἀλλὰ
παρὰ δὴ ἔμελλεν ἐμποδίζειν τὸ ὀπτικὸν πνεῦμα, καὶ οὕτως
αὐτῷ ἐξιέναι, διὰ τοῦτο μάλιστα ἐδεήθη ἐν διαφανοῦς
σπάτης οὐσίας τὸν κερατοειδῆ γενέσθαι· καὶ ὡς ὁρῶ-
μεν, ὅτι ἐπὶ τῶν κερατίνων ἀνδροθυγφανῶν περιεχό-
μενος ὁ λύχνος, τὸ φῶς τὸ οἰκεῖον ἔξω πέμπει μηδὲν ἐμ-
ποδίζοντος τῷ λύχνῳ τοῦ σώματος, οὕτως κἀνταῦθα
ὁ κερατοειδής, διαφανὴς ὤν, οὐκ ἐμποδίζει τὸ ὀπτι-
κὸν πνεῦμα διεξιέναι· διὰ ταύτην τὴν αἰτίαν, καὶ ὁ ἀπο-
πεφυκὼς οὐ πάντα περιλαμβάνει τὸν κερατοειδῆ·
ἀλλὰ κύκλῳ περισφίγγων αὐτόν, καὶ περιλαμβάνων,
μοῖραν τινὰ αὐτοῦ κυκλωτερῆ ἀφίησιν, ἵνα δι᾽ αὐτῆς
ἐξακοντίζηται τὸ ὀπτικὸν πνεῦμα. ὅτι δὲ καὶ ὁ κερατοειδὴς
φύσει λευκός ἐστι, δῆλον ἐκ τοῦ παχυνόμενον αὐτὸν
λευκαίνεσθαι· παχύνεται δὲ ἐν τοῖς λευκώμασι, φαίνεται
δὲ ὅμως μέλας, οὐ διὰ τὴν οἰκείαν φύσιν, ἀλλ᾽ ὅτι ὑπο-

περὶ τοῦ κερατοειδοῦς, καὶ διατί ἐγένετο:—

ὅτι ὁ ἀποπεφυκὼς οὐ πάντα περιλαμβάνει τὸν κερατοειδῆ· καὶ διατί:—

κάμενος αὐτῷ ὁ ῥαγοειδής, νοθεύεται αὐτοῦ τὸ χρῶ-
ποῖοι οἱ τῶν χιτώνων λευκοί, καὶ ποῖοι μέλανες:+
μα· Εἰσὶ δ' οὖν οἱ μὲν δύο λευκοί, ὅ τε κερατοειδής,
καὶ ὁ ἐπιπεφυκώς· μέλανες δὲ οἱ δύο· ὅ τε ἀμφιβλη-
στροειδής, καὶ ὁ ῥαγοειδής· περὶ μὲν οὖν τῶν χιτώνων,
τῆς τε ἐκ φύσεως, καὶ τοῦ ἀριθμοῦ, καὶ τῆς χρείας
αὐτῶν, καὶ τῆς ὀνομασίας, αὐτάρκως εἴρηται· ἀπο-
μένει δὲ λοιπόν, καὶ περὶ τῶν ἐν αὐτοῖς ὄντων ὑγρῶν· ἀ-
περὶ τῶν τριῶν τοῦ ὀφθαλμοῦ ὑγρῶν:
σὶ δὲ τὰ τοῦ ὀφθαλμοῦ ὑγρὰ τὸν ἀριθμὸν τρία.
Καὶ πρῶτον μὲν ἐστὶ τὸ ὑαλῶδες, ὃ κατὰ τὸ μέσον κεῖ-
ται τοῦ ὀπτικοῦ πόρου, ὅθεν αἱ δὴ κατασπαρμέναι ἶνες
τί ποιεῖ τὸν ἀμφιβληστροειδῆ:+
ποιοῦσι τὸν ἀμφιβληστροειδῆ· καλεῖται δὲ ὑαλῶδες
τοῦτο τὸ ὑγρόν, ὅτι κεχυμένον, παρὰ πλησίον ἐστὶν ὑάλῳ,
κατά τε τὸ χρῶμα, καὶ κατὰ τὴν σύστασιν: μετὰ
τοῦτο δὲ ἐστὶ τὸ λεγόμενον κρυσταλλοειδὲς ὑγρόν, καὶ
ἔχει αὐτὸ τὴν ὀνομασίαν, παρὰ τὸ ἐοικέναι κρυστάλλῳ·
κρύσταλλος, ἐστὶ πεπηγὸς ὕδωρ· ἔοικε δὲ τούτῳ κατὰ τὸ
χρῶμα, καὶ κατὰ τὴν σύστασιν· συμβάλλεται δὲ τοῦτο
ἥμισυ, καὶ οἷον ἐμπέπαρται τὸ ὑαλῶδες ὑγρὸν μέ-
ρος τοῦ κρυσταλλοειδοῦς: ἔστι δὲ καὶ τρίτον ὑγρὸν ἐν
τῷ ὀφθαλμῷ, καὶ καλεῖται ὠοειδές, παρὰ τὸ ἐοικέ-
ναι τῷ ἐν τοῖς λεπτοῖς, καὶ λευκῷ τοῦ ᾠοῦ: χρεία δὲ ἐστὶ τῶν

ὑαλώδους, διττή, καὶ γὰρ καὶ ὑποστερεῶσαι τῷ κρυσταλ-
λοειδεῖ, καὶ ἐκτρέφει αὐτό· τὸ δὲ ᾠοειδές, ἐπεί τε γ' ἄγαν τε
τὸ κρυσταλλοειδές, συνεχῶς ὑπὸ τῶν ἐνεργειῶν ξηραι-
νόμενον, ἀλλὰ μὴν καὶ περίβολος αὐτοῦ γίνεται, ὡς-
τε καὶ ἀμέσως αὐτὸ τῷ περιέχοντι ἀέρι βλάπτε-
σθαι ὑπ' αὐτοῦ· ἔτι δὲ τοῦτο λεπτόν, καὶ ἀερῶδες, ὡς
καὶ ὑποδέξαν τὸ ὀπτικὸν πνεῦμα φερόμενον παρὰ
τὴν κόρην· τὸ δὲ κρυσταλλοειδὲς ἐστὶ μεσώτατον, πα-
ραλαμβανόμενον ὑπὸ τῶν δύο ὑγρῶν, καὶ τῶν
λοιπῶν ἀριθμουμένων δύο χιτώνων, καὶ αὐτό ἐστι καὶ τὸ ἀν-
τιλαμβανόμενον, καὶ τῶν πρωτουργῶν μορίων τῆς
ὀπτικῆς δυνάμεως· τὸ δὲ ὀπτικὸν πνεῦμα τὸ ἐν τοῖς ὀφ-
θαλμοῖς, ἀπὸ ἐγκεφάλου φέρεται ἐν αὐτῷ· καὶ διτ-
τὴν ἀποτελεῖ τὴν χρείαν, μίαν μὲν ἵνα πληροῖ τὸν ὀφ-
θαλμόν, καὶ ὄγκος ἀπεργάζεται, καὶ πλείστην ποιῇ
τὴν διάστασιν, ὡς ἂν μὴ δι' ὀλίγου ἐς τὸν περὶξ ἀέρα
τὸ ᾠοειδὲς ὑγρὸν ὁμιλῇ· δεύτερον δὲ ἵνα ἐξακον-
τιζόμενον τῆς κόρης τὸ ὀπτικὸν πνεῦμα, γινώσκομεν, ἡ-
μεῖς μακρόθεν τὰς τῶν αἰσθητῶν οὐσίας τε, καὶ χροιάς.
καὶ ἵνα ὁ ὀφθαλμὸς ἀλλοιοῖ ταῦτα, καὶ διαπορθ-
μεύεται περὶ τὸ κρυσταλλοειδὲς ἡ τούτων χροιά· ἔστι

ὅτι ἡ χρεία τοῦ ὑαλώδους διττή:+

περὶ τοῦ κρυσταλλοειδοῦς:

περὶ τοῦ ὀπτικοῦ πν(εύματο)ς· ἡ χρ(εία) διττή:+

πῶς γινώσκομεν μακρόθεν τὰ αἰσθητά:+

ὅτι ὁ γλαυκόφθαλ(μος) κεῖνα: ὅτι περὶ τῶν μικρὰς ἐχόντων κόρ(ας):

κεῖναι δι' ἃ ταῦτα ὥς φασι λέγεται ὁ γλαυκόφθαλμος· πλὴν καὶ τοῦτο δεῖ εἰδέναι, ὅτι οἱ μικρὰν ἔχοντες τὴν κόρην τοῦ ὀφθαλμοῦ ἢ μελανίτης, οὗτοι μᾶλλον τυγχάνουσιν ὀξυωπέστεροι τῶν τὰς μεγάλας ἐχόντων· ἐπειδὴ τὸ

περὶ ὀξυδορκ(ίας):

πνεῦμα τὸ ὀπτικὸν ἐξ αὐτῆς μετὰ ῥυθμήσιν ὥσπερ ἐξακοντιζόμενον καὶ μηδαμοῦ χεόμενον, ὅπερ συμβαίνει ἐπὶ τῆς μεγάλης κόρης ἀκριβῶς ἀντιλαμβάνεται τῶν αἰσθητῶν, καὶ τῶν πόρρω κειμένων·

περὶ γενέσεως χρωμάτων· περὶ τοῦ λευκοῦ:

εἴδωμεν δὲ πάλιν πῶς γίνεται τὸ μέλαν χρῶμα, καὶ τὸ λευκὸν, καὶ τὰ λοιπὰ πάντα· τὸ τοίνυν λευκὸν χρῶμα γίνεται κατὰ μὲν γένος διὰ δύο αἰτίας, κατὰ δὲ εἶδος διὰ τέσσαρας· κατὰ γένος μὲν οὖν, διὰ τὸ κρυσταλλοειδὲς, καὶ τὸ ὠοειδὲς ὑγρόν· κατ' εἶδος δὲ, διὰ μὲν ὠοειδὲς ὑγρὸν τριτα μοναχῶς· διὰ δὲ τὸ κρυσταλλοειδὲς, τριχῶς· τὸ γὰρ ὠοειδὲς, ἢ πολύ ἐστιν, ἢ ὀλίγον· καὶ ἢ καθαρὸν, ἢ θολούμενον·

περὶ γλαυκοῦ ὀφθαλμοῦ· ὅτι ὀλίγοι μὲν παρ' αὐτοῦ ἐκλάμψις ... :

εἰ μὲν οὖν πολύ ἐστι τὸ ὠοειδὲς ὑγρὸν, ποιεῖ τὸν γλαυκὸν ὀφθαλμὸν, καὶ ὅτι γίνεται ὑπεραύγου ἔκλαμψις, διότι βαθύνεται τὸ κρυσταλλοειδὲς ὑγρὸν καὶ τὸ κόρη· τοῦτο δὲ ἐπὶ λιμναίων ὑδάτων ἄδηλον γινόμενον, τὸ γὰρ ἐν βάθει αὐτῆς ὁρᾶν οὐ δυναίμεθα, οὐ μὴν οὐδὲ-

τεθολωμένον ᾖ, ἐπιτήδειον ὂν δέξασθαι χρῶμα
τοιοῦτον· τοῦτο γὰρ καὶ τὰ θολερὰ τῶν ὑδάτων
ποιοῦσι, καὶ ἡ λιώδης μὲν συγχωρεῖται τῆς ἀκτῖ-
νος τοῦ φωτὸς διὰ αὐτῶν ἔρχεσθαι καθαρῶς· ὥστε
ὅσον ἐπὶ τὸ ὡς ἀσθενὲς ἡ ὁ ὀφθαλμὸς γλαυκός, δι' αἰτίαν
καὶ ὀλιγότατα τούτου τοῦ γλαυκοῦ, καὶ καθαρότητος:
διὰ δὲ τὸ κενὸς ἄλλο ἀσθενές, γίνεται γλαυκὸς ὁ ὀφθαλ-
μός, ὅτε ἡ φύσα λαμπρὰ ᾖ, καὶ καταλάμπει ὅλον
τὸν ὀφθαλμόν· ἡ λαμπρὸν μὲν οὐκ ἔστιν ἐνίοτε τοῦ ὑγροῦ,
ἔξω δέ, καὶ διὰ τὸ μέγεθος τὴν αὐτὴν πᾶσιν ποιεῖται ἐκ-
λάμψιν, καὶ γλαυκὸς γίνεται ὁ ὀφθαλμός· ἃ οὔτε
μεγάλα τὸ ὑγρόν, οὔτε μικρόν, ἂν δὲ χεῖται δ' ἕον ἥτις
τοῦ μὲν περισθενεῖν κενὸν πόταν ὑπερτερῇ τὴν θέσιν ἔχειν
τῶν ὀφθαλμῶν, καὶ διὰ τοῦτο δείκνυσθαι τὸν ὀφθαλ-
μὸν γλαυκόν, καὶ ὑπερτερῇ· ἃ μὲν οὖν ἅπαντα
ταῦτα ὑπάρχει, γλαυκὸς γίνεται ὁ ὀφθαλμός· ἂν δὲ
τὰ ἐναντία τούτων, γίνεται μέλας. Εἰ δέ τινα μὲν
ὑπάρχει, τινὰ δὲ μή, αἱ μὲν τούτων πᾶσαι γίνονται
διαφοραὶ τῶν ὀφθαλμῶν: πολυφωτότατος δὲ τοῦ
μέλανος ὀφθαλμοῦ ὁ γλαυκὸς πῶς. ὅτι καὶ λεπτό-
τεραι, καὶ λευκότεραι, καὶ διειδέστεραι τῶν οὐσιῶν

ὅτι πῶς ἐστι γλαυ-κὸν ὁ ὀφθαλμός:

πῶς μέλας ὁ ὀφθαλ-μὸς γίνεται:

[Π]ροερῶ ταῦτα τῆς ἀφελούσης αἴγλης τοῦ ἡλίου αὐτὸ πλη-
ρούμενον καὶ τὸ κατὰ πᾶν ἀπ᾽ αὐτῶν ὑποδεχόμενον
φῶς, καὶ αὐτὸ τὸ μεταξὺ τὰς ἡλιοειδοῦς οὐσίας ἐπι-
δοχεῖον αὐτοῦ· Ἐπιδείκνυται περὶ τῶν ὀφθαλμῶν ἐρα-
νῶν τε, ἐξῆς δὲ τὰ οὐσιωδῶς αὐτοῖς ὑπάρχοντα,
καὶ τὰ κατὰ συμβεβηκὸς προσγινόμενα, καὶ
τὰς τῶν χιτώνων ἐκφύσεις, καὶ τὰς ὀνομασίας
αὐτῶν, καὶ τὸν ἀριθμόν, καὶ πῶς ὁ μὲν ἀμφιβλη-
στροειδής, καὶ ὁ ἐπιπεφυκώς, καὶ ὁ ῥαγοειδής
ἔχουσι φλέβας· ὁ δὲ κερατοειδής, ἄφλεβος τε, (margin: ὅτι μόνος ὁ κερατοειδὴς ἄφλεβος·)
καὶ τὰς χρείας αὐτῶν ἐσαφήνισε μέν, καὶ τῶν
ὑγρῶν τὴν ποσότητα, καὶ τὰς χρείας, καὶ ἐνερ-
γείας· καὶ τοῦ μὲν τὸ ὑαλοειδές, τοῦ δὲ τὸ κρυσταλ-
λοειδές, τοῦ δὲ τὸ ᾠοειδές· καὶ περὶ τοῦ ὀπτικοῦ (margin: πόθεν ὁρμᾶται τὸ ὀπτικὸν πνεῦμα·)
πνεύματος ἐδιδάξαμεν ὅτι ἐκ τοῦ ἐγκεφάλου ὁρμᾶται,
καὶ τὴν αἰτίαν ὅτι διὰ τὴν ταύτην ποιεῖται· ἀγαθὴ
ἐν πᾶσι τοῖς μορίοις τοῦ σώματος ἀφ᾽ ὧν καὶ περιέ-
χεται φυσικὸν ἐν αὐτοῖς περὶ τὴν χρείαν γινόμενον,
ἀλλ᾽ ἐν τοῖς ὀφθαλμοῖς ὁ ἐγκέφαλος αὐτὸ χορηγεῖ
διὰ τὰς εἰρημένας αἰτίας· καὶ ὅτι τὰ εἰρημένα
πάντα διὰ τὴν τοῦ ὅλου ὀργάνου ὑπηρεσίαν γενόμενα,

τοὺς μὲν πέμπει, τοὺς δὲ τρέφει, τοὺς δὲ περιέχει, τοὺς δὲ ἀσ-
φαλίζεται, τοὺς δὲ τὴν κόρην φυλάττει σοφῶς, καὶ
ἐντέχνως, καὶ θαυμαστῶς τὴν ὑπέρσοφον σοφίαν
τοῦ θεοῦ ἄξιον ἐκπλαγῆναι, καὶ σιωπῶς μετὰ τοῦ
προφήτου ἐπιφθέγξασθαι· φύλαξόν με κύριε ὡς κόρην
ὀφθαλμοῦ· οἶμαι γὰρ καὶ τὸν προφήτην τὴν τοσαύ-
την αὐτῆς ἀσφάλειαν κατανοήσαντα τοῦτο εἰπεῖν:+

Ἔτι περὶ τῶν ὅρων τῶν ὀφθαλμῶν, καὶ ἄλλων:+

Εἴδωμεν οὖν καὶ τὸν ὅρον τῶν ὀφθαλμῶν, καὶ τὰς
ὀνομασίας αὐτῶν, καὶ τὰς παραγωγάς· ὀφθαλ- ποῖοι εἰσὶν οἱ ὀφθαλμοί·
μοί φησιν εἰσὶν οἱ συνεστῶτες ἐκ τεσσάρων χιτώνων, καὶ
ὑγρῶν διαφερόντων τριῶν, νάζωδας, αἰσθητι-
κοὶ τῶν ὑποκειμένων χρωμάτων, καὶ μεγεθῶν, καὶ
σχημάτων· οὐ μόνον δὲ ὀφθαλμοὶ λέγονται, ἀλλὰ ὀνομασίαι
καὶ φάεα κατὰ τὸν ποιητήν, καὶ ὄμματα, καὶ ὄσσε,
καὶ ὦπες· καὶ ὀφθαλμοὶ μὲν, ἀπὸ τοῦ ὀφθῆναι πόθεν ὀφθαλμοί·
παρέχειν ἀπολαύειν ἔξωθεν ἐναλλάττεται ἡ ὄψις· ἢ ὀπῶν
θάλαμοι· φάη δὲ, ὅτι ἐξ αὐτῶν φῶς προέρχεται, πόθεν φάη·
ἢ ὅτι φωτὸς εἰσὶ δεκτικοί, καὶ δηλητικοί· καὶ ὁ κῦρος,
κυρίως δὲ εἶναι κεφαλήν, καὶ ἀμφοφάεα καλεῖ· ὄμ- πόθεν ὄμματα·
ματα δὲ, ὅτι δι' αὐτῶν τὸ ὁρατικὸν πνεῦμα ὁρμᾶται,

οἷον αἱματ(?) καὶ ὅρματα, ἐπειδὴ δι' αὐτῶν ἀφίεται, καὶ
ἀκοντίζεται τὸ ἐν τοῖς ὀφθαλμοῖς πνεῦμα· οἱ δὲ αἰολάς, — οἱ αἰολάς:
ὅπερ αὐτοὶ λέγουσι, παρὰ τοῖς Ἴωσι· λέγονται καὶ παρὰ-
τῷ ποιητῇ καὶ ὄσσε, παρὰ τὴν ἐπὶ τὸ ὑποκάμ-
ψιν, καὶ τὴν ἐπάνω θυροβολήν· Ὅμηρος, ὄσσε δέ οἱ πυ-
ρὶ λαμπετόωντι ἐΐκτην. καὶ πάλιν· κάκου γὰρ τοιοῖ-
σδε πρόσθεν τοιαῖσδε τυχάρεσι, ὀφθαλμῶν τε βολαὶ
λέγονται καὶ ὦπες, παρὰ τὴν ὀπήν, ὀπὴ δὲ κυρίως
τόπος πεπερασμένος, ἀφ' οὗ τις δύναται ὀπόσασθαι,
καὶ περιβλέψασθαι· τὸ δὲ ἐπιξεόμενον, αὐτὸ περ ὁ-
ρᾷ· ἡ δὲ κόρη τῶν ὀφθαλμῶν, καὶ γλήνη λέγεται,
καὶ ἴλλη· κόρη μὲν οἷον χόρη, ἐκ τοῦ δι' αὐτῆς χεῖσθαι
τὸ ὁρατικὸν πνεῦμα· ἴλλη δέ, ἀπὸ τῆς ἰλλώσεως, καὶ
τῆς ἐπὶ τὰ κάτω φορᾶς. γλήνη δέ, παρὰ τὸν νοῦν
γαληνοῦσθαι, τῆς καρδίας θέσεως τοῦ νοῦ δηλωτικοὶ οἱ-
ὀφθαλμοί· ἢ ἀπὸ τοῦ λαῦσαι, ὅ ἐστι λάμπειν· Ὅ-
μηρος, ἔρρε κακὴ γλήνη· τὰ λευκὰ τῶν ὀφθαλμῶν
δὲ ἤγουν ὁ ἐπιπεφυκὼς χιτών, λόγαδες καλοῦνται
παρὰ τῷ ποιητῇ, λοξῶν φησὶ τὰς λογάδας· ὁ δὲ Καλλίμα-
χος, ὅστις ἀλυκροῖς αὐγάζων καθαραῖς οὐ δύναται
λογάσιν· λέγονται καὶ δέρματα, δέρξις γὰρ ἡ βλέψις

Marginalia:
οἱ αἰολάς:
ὅτι ἡ κόρη, καὶ γλήνη λέγεται, καὶ ἴλλη: πόθεν κόρη, γλήνη, ἴλλη:
βλέπ
λογάδες ὀφθαλ:

ἀπὸ τῶν βλεπομένων, καὶ τῆς ἐνεργείας δέρκεσθαι, οἷον, τὸ βλεπόμενον διέρχεσθαι· διαφέρει δὲ ὄψις, ὁράσεως· ὁ μὲν ὅρασις, ὁρμή τίς ἐστιν αἰσθητική, ἡ κίνησις ὄρεξις, τουτέστι τὰ πέρατα τῶν σωμάτων καταλαμβάνουσα· ἡ δὲ ὄψις, αἰσθητική, καὶ ψαῦσις τῶν ὁρατῶν κατανόησιν ποιουμένη· τὸ ἐπικαλύπτον δέρμα τῶν ὀφθαλμῶν, βλέφαρον λέγεται, καὶ ταρσός. βλέφαρα μὲν, διὰ τὸ περιφαίνεσθαι, ἢ διὰ τὸ βλέπεσθαι αὐτὸ ἐν τῷ ὁρᾶν· ταρσὸς δὲ διὰ τὸ ἄσαρκον αὐτοῦ, ἐπεὶ καὶ τὸ τοῦ ποδὸς ὑπόδιον καὶ ταρσός· διὰ τοῦτο ὅμηρος κνώδει μὴ ἐπιγράψας ταρσὸν ποδὸς ἀχθεσθαι αὔτως· αἱ δὲ ἐπ᾽ αὐτῶν τρίχες, βλεφαρίδες προσαγορεύονται, οὐ μόνον καὶ κόσμον παρέχουσι τοῖς ὀφθαλμοῖς, ἀλλὰ καὶ κόνιν, καὶ κάρφη, καὶ πάντα τὰ προσπίπτοντα τοῖς ὀφθαλμοῖς, ἔξωθεν ἀποκρούονται, καὶ οὐκ ἐῶσι παρενοχλεῖσθαι αὐτοὺς ὑπ᾽ οὐδενός· αἱ δὲ ὑπεράνω τῶν ὀφθαλμῶν ἐξοχαὶ ἐν αἷς αἱ τρίχες ἵστανται στοιχηδόν, ὀφρύες καλοῦνται, ἢ τοιόπως εἰσί, ἢ ὑπεράνω τοῖς ὦπας φέρειν ἀναξομένων καὶ ἱδρώτων· τὸ δὲ καὶ ἄπορον ἐν αὐταῖς, ὅτι καὶ μὲν τῆς κεφαλῆς τρίχες αὔξουσι τῷ

περὶ διαφορᾶς ὄψεως, καὶ ὁράσεως:

περὶ βλεφαρίδων:

περὶ ὀφρύων, καὶ πόθεν, καὶ διατί οὐκ αὐξάνονται:

καὶ ἀποκάρηνται· αὗται δὲ καὶ αἱ φλέβες βαρεῖαι διὰ τὸ
μὴ κωλύειν τὴν ὅρασιν, ἢ περιττὸν ὑποδέξονται τοὺς ὀφθαλ-
μούς, ὥσπερ ἐπὶ τῶν ἐσχατογηρώντων κωλύεσθαι δύναται ξαί-
νεσθαι παρὰ τοῦ τεχνουργοῦ τῆς πάντων δημιουργίας:
πολλοὶ δὲ καὶ τοῖς ὀφθαλμοῖς κατὰ τὸ χρῶμα, καὶ κα-
τὰ τὸ μέγεθος πεφύκασιν ἑτέρως: καὶ περὶ μὲν τοῦ
χρώματος αὐτῶν ἀρκεῖται, περὶ δὲ τοῦ μεγέθους νῦν
ζητητέον ἅπαν ἐπιγνῶναι τῶν ὀφθαλμῶν· οἱ μὲν γὰρ μείζ-
ασιν, οἱ δὲ ἐλάττους, οἱ δὲ σύμμετροι, τὴν ἑκατέρων
ἀμετρίαν ἐκπεφευγότες, οἳ καὶ βέλτιστοι εἶναι
φασί: πάλιν οἱ μὲν τῶν ὀφθαλμῶν πρὸς τὰ ἔνδον πε-
πίληνται, καὶ μάζονα τὴν περιφέρειαν τῆς ἑαυτῶν
κοιλότητος διαγράφουσιν: οἱ δὲ πρὸς τὰ ἐκτὸς ἐ-
ξογκοῦνται καὶ ἐξάλλεσθαι θέλουσιν, ἄλλοι δὲ πρὸς
οὐδέτερον τούτων ἀποκλίνουσιν, ἀλλὰ τὴν μέσην ἔ-
χουσιν χώραν, οἳ καὶ βέλτιστον ἦθος διασημαίνου-
σιν τῶν ἐν οἷς πεφύκασιν· τοὺς μὲν διακειμένους μᾶλλον
πρὸς τὰ ἐντός, ὀξυωπεστάτους εἶναι φασί, ὥσπερ
τοὺς πρὸς τὰ ἐκτὸς ἀβεβαίους, καὶ θυμικούς· τοὺς
δὲ μεγαλοφθάλμους, καὶ ἀτενὲς ὁρῶντας λιροφ-
θαλμούς τινὲς ὀνομάζουσιν, παρὰ τὴν λίαν τινὶ προσ-

περὶ μεγέθ(ους) ὀφθαλμῶν:

ποῖοι τῶν ὀφθαλμῶν
ὀξυωπέστατοι, ἢ
ποῖοι οὔ

κεῖσθαι, ἢ παρὰ τὸ λίαν ὁρᾶν, ἐπεὶ ἀτενῶς ἀσοῖναι τούτων
ὄψεις, ὡς ἀναιδῶς ἐπαιρόμεναι: +

Πόσοι εἰσὶ οἱ κινοῦντες τὸν ὀφθαλμὸν μύες: +

Οἱ τοὺς ὀφθαλμοὺς κινοῦντες μύες, ἓξ εἰσὶ τῷ ἀριθμῷ,
δύο μὲν οἱ περιστρέφοντες ὅλον τὸν ὀφθαλμόν, ἀπὸ
τοῦ μεγάλου κανθοῦ ἀρχόμενοι, καὶ εἰς τὸν μικρὸν τε-
λευτῶντες· οἱ δὲ τέσσαρες κινοῦσιν αὐτὸν κατὰ τὴν θέαν,
ὁ μὲν ἄνω, ἀνατείνων· ὁ δὲ ἄλλος κατασπῶν, ἄλλος
ἐπὶ δεξιὰ κινῶν, καὶ ἄλλος ἐπ' ἀριστερά. ἰδίως καὶ
ἕτερος ἕβδομος ὅστις αὐτὸν σφίγγει τὸν ὀφθαλμὸν
ἐπὰν δ' ἂν ἀκριβῶς βλέπειν τι σῶμα μικρὸν δεηθῶμεν
εἰς ὅρασιν: ὅρος δὲ ὁράσεως οὗτος, ὅρασίς ἐστι γι- ὅρος ὁράσεως
γνομένη διὰ τῶν ὀφθαλμῶν ἐνέργεια· τὸ συγκε-
κραμένον ἐν αὐτοῖς πνεῦμα, λέγω τὸ μάλιστα τὸ ὄν, καὶ
ταῖς κόραις τούτων ὑπάρχων, δι' οὗ ἀφορᾶται καὶ ἀντι-
λήψεις, καὶ πόρρωθεν γίνονται. εἰ μὴ γὰρ ἦν ὀφθαλμοῖς
φῶς τι, οὐκ ἂν ὁραθείη τὸ ἔξωθεν φῶς. ὄψις γὰρ τὸ ὁ-
ρᾶν παρέχεται ὑπὸ τοῦ ἡλιακοῦ φωτός, καὶ περὶ τὸν ὁρατὸν
παρὰ τῆς ὄψεως, καὶ τοῖς ὁρατοῖς περιρρέον. τὸ αἰθέ-
ριον φῶς παρρησίαν τοῖς ὄμμασι χαρίζεται εἰς τὴν τῶν αἰ-
σθητῶν κατανόησιν. χαλκὸν ἀνάγκη γὰρ ὃ δίδωσι καὶ τὴν

δόξα φιλοσόφων περὶ ὄψεως· ἐπικούριοι· τοῦ θεολόγου φωνήν. πολλὰ δὲ οἱ φιλόσοφοι περὶ τῆς ἐνεργείας ταύτης διηνέχθησαν. οἱ μὲν ἐπικούρειοι, εἴδωλα τῶν φαινομένων προσπίπτειν τοῖς ὀφθαλμοῖς λέγουσιν, καὶ τὴν ὅρασιν ποιεῖν.

ἀριστοτέλης· ἀριστοτέλης δὲ οὐκ εἴδωλον σωματικόν, ἀλλὰ ποιότητα διὰ ἀλλοιώσεως τοῦ περιέχοντος ἀέρος ἀπὸ τῶν ὁρατῶν ἄχρι τῆς ὄψεως παραγίνεσθαι.

πλάτων, καὶ γαληνός· πλάτων δέ, σύμφωνος τῷ γαληνῷ, τὸν περιέχοντα ἀέρα λέγει ὄργανον γίνεσθαι τῷ ὀφθαλμῷ, καθ' ὃν ὁρῶμεν χρόνον τοιοῦτον, οἷόν περ ἐγκεφάλῳ τὸ νεῦρον. ὥσπερ γὰρ αὐγὴ τοῦ ἡλίου ψαύουσα τοῦ ἄνω πέρατος τοῦ ἀέρος διαδίδωσιν εἰς ὅλον τὴν δύναμιν τοῦ φωτός, ἥ τε διὰ τῶν ὀπτικῶν νεύρων αὐγὴ φερομένη, τὴν μὲν οὐσίαν ἔχει πνευματικήν. ἐμπίπτουσα δὲ τῷ περιέχοντι, καὶ τῇ προσβολῇ τὴν ἀλλοίωσιν ἐργαζομένη, διαδίδωσιν ἄχρι πλείστου συνεχοῦς ἐπ' αὐτήν, ἄχρις ἂν ἀντιτύπῳ ἐντύχῃ σώματι.

πῶς ὁρᾷ ἡ ὄψις· ὁρᾷ δὲ ἡ ὄψις κατ' εὐθείας γραμμάς, καὶ τῶν διαφανῶν μέχρι βάθους διικνεῖσθαι πέφυκεν, ἀέρος μὲν πρώτως, καὶ μάλιστα, (ὅλον γὰρ διεξέρχεται)· δεύτερον δὲ ὕδατος, εἰ ἠρεμοῦντος, καὶ καθαροῦ, τρίτον δὲ διὰ ὑάλου, καὶ τῶν ἄλλων τῶν πεφωτισμένων· ἴδια γὰρ ταῦτα τοῦ

ὄψεως· ὁμοίως καὶ τὸ χρῶμα ἴδιον τῆς αἰσθήσεως,
οἷον τὸ φαιὸν ἢ ἐρυθρόν· αἰσθάνεται μὲν γὰρ κατὰ
πρῶτον λόγον τῶν χρωμάτων, συνδιαγινώσκει
δι' αὐτῆς, καὶ τὸ κεχρωσμένον σῶμα, καὶ τὸ μέγε-
θος, καὶ τὸ σχῆμα αὐτοῦ, καὶ τὴν χώραν ἔνθα ἐστί,
καὶ τὸ διάστημα, καὶ τὸν ἀριθμόν, κίνησίν τε καὶ
στάσιν, καὶ τὸ τραχύ, καὶ λεῖον, καὶ τὸ ὁμαλὸν καὶ
ἀνώμαλον· καὶ τὸ ὀξύ, καὶ ἀμβλύ· καὶ τὴν στάσιν, εἴ-
τε ὑδατώδης εἴτε γεώδης ἐστί· διὰ μόνης γὰρ τῆς
ὄψεως τῶν χρωμάτων ἀντιλαμβανόμεθα· τὰ δὲ
λοιπὰ κοινὰ τῆς ἁφῆς, καὶ τῆς ὄψεως, ὥσπερ καὶ
τοῦ πυρός· καὶ γὰρ τὸ πῦρ ὁρῶντες, ἴσμεν ὅτι θερ-
μόν ἐστι· ἀλλ' ἂν ἀπὸ τὴν πρώτην ὄψιν ἀνάγῃς τὸν λόγον,
εὑρήσεις ὡς τότε ὅτε ἡ ὄψις θεάσεται τὸ πῦρ, μόνου
τοῦ χρώματος, καὶ σχήματος ἔσχε τὴν γνῶσιν, προσυλ-
λαβούσης δὲ τῆς ἁφῆς ἐγνωρίσαμεν ὅτι καὶ θερμὸν
καὶ καυστικὸν ὑπάρχει τὸ πῦρ· πολλάκις μὲν οὖν ἡ ὄψις
τῆς ἐπιμαρτυρίας χρῄζει τῶν ἄλλων αἰσθήσεων πρὸς
τὸ μὴ σφάλλεσθαι· πολλάκις δὲ καθ' αὑτὴν ἐναργῶς πα-
ρίστασι τὸ φαινόμενον. τὸν γοῦν πύργον τὸν τετράγωνον
στρογγύλον πόρρωθεν ὁρῶν, καὶ τὰ μείζονα τῶν ζώων,

ὅτι διὰ μόνης τῆς ὄψεως τῶν χρωμάτων ἀντιλαμβανόμεθα:—

ὅτι πολλάκις ἡ ὄψις ἐπιμαρτυρίας χρῄζει:

ἠκλισμάτων, μικρά, σφάλλεται δέ· καὶ ὅταν δι' ὕδα-
τος κινουμένου ὁρᾷ τὴν κώπην ὡς κεκλασμένην φαί-
νεται ἐν τῇ θαλάσσῃ· ὁμοίως καὶ ὅταν διά τινος ὕλης,
ὡς ἐπὶ τῶν ἐσόπτρων, καὶ ἑτέρων διαφανῶν, καὶ ὅταν
ὀξέως κινῆται τὸ ὁρώμενον, συνταράσσει γὰρ τὴν ὄψιν
ἡ ταχεῖα κίνησις, ὡς ἐπὶ τοῦ τῆς περιστερᾶς τρα-
χήλου· τῶν ὁρατῶν δὲ μάλιστα πρὸς ἐναργῆ διάγνω-
σιν ἡ ὄψις χρῄζει, ἀβλαβοῦς αἰσθητηρίου, συμμέ-
τρου κινήσεως καὶ διαστήματος, ἀέρος καθαροῦ,
καὶ λαμπροῦ φωτός· καὶ τὰ μὲν περὶ τῶν ὀφθαλμῶν
ἅλις:+

περὶ ῥινὸς καὶ μυκτήρων:+

Διὰ δὲ ῥινῶν δι' ὧν ἡ ὄσφρησις γίνεται, λέγονται καὶ μυκ-
τῆρες· ῥῖνες μέν, διὰ τὸ δι' αὐτῶν ῥαντίζεσθαι ἐξ ἐγκεφάλου
ὑγρά· μυκτῆρες δέ, ἀπὸ τοῦ μυκτηρίζειν τινάς, ὅσα
διαπαίζομεν· κινοῦντες αὐτοὺς μίξεως ἀξίου· ἢ ἀπὸ
τοῦ τὴν μύξαν ἐξιέναι δι' αὐτῶν· ἢ ἀπὸ τοῦ μύξας τινὰς
ὑφ' αὐτῶν ἔχειν, τοῦ τῆς ὀσφρήσεως· εἰσὶ δὲ ἀραιώδεις καὶ
χονδρώδεις, ἀντιληπτικαὶ ὀσμῶν· καὶ τῶν ἐν αὐταῖς
διαφορῶν, τουτέστιν εὐωδίας, καὶ δυσωδίας· διὰ αὐ-
τῶν δὲ καὶ ἀναπνέομεν καὶ ἀποπνέομεν· οὐδὲ γὰρ
δυνατὸν ποιεῖσθαι ἄλλως ταῦτα, εἰ μὴ διὰ μυκτήρων.

πῶς ἀβλεψεῖ.

διὰ τίνων ἡ ὄψις γνωρίζει

διατί λέγονται ῥῖνες καὶ μυκτῆρες:

ἀπὸ γὰρ τῶν ταμιείων, καὶ τῶν τῆς καρδίας θαλάμων, πόθεν δέχονται τὴν ἀναπνοὴν οἱ μυκτῆρες:
διὰ τοῦ πνεύμονος ἀναπεμπομένην ὑπέχονται τὴν
ἀναπνοὴν οἱ μυκτῆρες, καὶ πρὸς τὸ ἔξωθεν ἀπο-
κενοῦ, καὶ τὴν ἀναπνοὴν ἐφελκόμενοι θύραθεν
πρὸς τὰ ἔνδοθεν παραπέμπουσιν. ἔστι δὲ ἡ ὄσ- ὅρος ὀσφρήσεως
φρησις ὁρμητικῆς φυσικῆς ἐνεργείας, ἡ ἀποτελου-
μένη διὰ τοῦ ἐντὸς εἰσιόντος ἐγκεφάλου, καὶ ἀτ- ἐν ὃ δέχε
μοῦ διαφέρει δι' οὗ αἱ τῶν ὀσφραντικῶν ἀντιλήψεις
πόρρωθεν γίνονται. διχότομος δὲ πέφυκεν ὁ μυκτὴρ
ἀνὰ μέσον ἔχει διάφραγμα χόνδρου, καὶ ἑκατέρω-
θεν ὑπάρχον κενόν, διὰ τὴν τῆς ἀναπνοῆς ὡς εἴρηται,
καὶ ἐκπνοῆς εἴσοδόν τε καὶ ἔξοδον. εἰ μή τις ἐμφρα-
ξις αὐτὸ νοσήματος γένηται, τὴν μὲν ἀναπνοὴν τοῦ ἀέρος
μὴ κωλύουσαν, τὴν δὲ τῶν ὀδμῶν ὡς τοῦ ἀέρος ὑ-
πάρχουσαν παχυτέραν μὴ δεχομένην. γίνεται δὲ ἡ ὄσ-
φρησις ὡς προείρηται. περαίνεται δὲ ἀπὸ τοῦ περατα ποῦ περαίνεται ἡ ὄσφρησις:
τῶν ἐμπροσθίων τοῦ ἐγκεφάλου κοιλιῶν, ἀπὸ τῶν ἀποθε-
μοαδηὸ ἀπό. οὐ γὰρ μεταλαμβάνουσιν εἰς τὴν ἐνέργειαν
αὐτῆς γνωρίζεται τῷ ἐγκεφάλῳ, ὥσπερ καὶ αἱ λοιπαὶ τῶν πῶς γνωρίζεται ἡ εἰς τὴν ἐνέργειαν τῷ ἐγκεφάλῳ:
αἰσθήσεων, ἀλλ' αὐτὸς ἐκεῖνος διὸ πρῶτον τὴν αἴσθησιν
δέχεται. πῶς δὲ ἐκεῖνος, τὸ μὲν ἄνωθεν αὐτῆς ἀντῷ με-

τῷ ὑποπερὶ τὰς ὀφρῦς κοιλώματι, ἢ διὰ μεταξύ, ἢ

περὶ τῆς ῥινός:

διφυές. τὸ δὲ ἄκρον καὶ τὰ αὐτῆς χόνδρος· ἃ καὶ πτε-
ρύγια καλοῦνται. Ἐγγὺς δὲ ταύτῃ, ἔνθεν κἀκεῖθεν,
κανθοὶ λέγονται τῶν ὀφθαλμῶν, οἱ μὲν ἔσω μεγά-

περὶ τῶν κανθῶν:

λοι, οἱ δὲ ἔξω μικροί. κανθοὶ δὲ ἀπὸ τοῦ κεκλεῖσθαι
σκωληκῶς ἀπὸ τοῦ παρασπένδοντος πάντοτε ὑγροῦ, τοῦ
λαίου, δακρυώδους ῥεύματος, καὶ τῶν λοιπῶν. ῥῖνες δὲ

περὶ σχημάτων τῶν ῥινῶν:

αἱ εἰσὶ πολύσχημοι· αἱ μὲν γάρ εἰσι καμπύλαι, αἱ
δὲ πλατεῖαι· αἱ δὲ στρογγύλαι, αἱ δὲ σιμαί· αἱ δὲ ὀ-
ξεῖαι, αἱ δὲ μεγάλαι, αἱ δὲ μικραί. αὗται δὲ μάλιστα
τῶν ἄλλων μορίων εὐειδίαν, ἢ δυσειδίαν περιέχου-

περὶ μαγούλων ἃ καὶ μῆλα λέγονται:

σι τῷ προσώπῳ: τὰ δὲ μάγουλα, ἃ καὶ μῆλα λέγονται.
ὀστέα δέ εἰσι κυφώδη, τοῖς κροτάφοις συμπεφυ-
κότα. τούτων δὲ μόρια εἰσὶ καὶ τῶν ὀδόντων πάντων
φάτνια, πλὴν τῶν τομέων. μάγουλα δὲ καὶ μῆλα, πα-
ρὰ τὸ ὁμαλόν, καὶ οὖλον. γίνεται δὲ διὰ τὸ ἐρυθρὸν
τοῦ μήλου καὶ ταῦτα οὕτως καλοῦνται. πρὸ γὰρ ἀρχῆς
τοῦ σώματος, καὶ τοῦ ἐμφύτου θερμοῦ δηλωτικά εἰσι.

περὶ σιαγόνων καὶ πόθεν:

τοῦ τε χρώματος, καὶ σιαγόνες λέγονται, ὅτι σιγῶνται
περιαγόμεναι, καὶ σιωπῶνται ἐν τῷ ἐσθίειν ἡμᾶς,
ἢ ὁμιλεῖν. ἢ ὅτι σιγώμενοι ἡμᾶς κεκλεισμένον αὐτῶν

ὄντων· λέγεται καὶ ἄνω γένυς καὶ τὸ τοῦ ἄνω χείλους, ἡ
κάτω καὶ τὸ τοῦ πώγωνος, καὶ τῶν παρειῶν· καὶ τὴν μὲν
κάτω πᾶν ζῷον κινεῖ, τὴν δὲ ἄνω μηδὲν, εἰ μὴ
τὸν κροκόδειλον μόνον, καὶ τὸν φοίνικα τὸ ὄρνεον, ἀμ-
φω γάρ, οὐ τὴν κάτω, ἀλλὰ καὶ τὴν ἄνω γένυν κινεῖ·
γένυς δὲ εἴρηται ἐπὶ τοῦ τὰ γένη διαχωρίζειν, τῶν
ἀρρένων καὶ θηλέων, καὶ τελείων καὶ ἀτελῶν· ἢ ὅτι
γεννᾷ ὀδόντας καὶ τρίχας:–

περὶ ὤτων:–

αἱ ὦται χονδρώδεις, καὶ νευρώδεις, ἀντιληπτικαὶ
φωνῶν, καὶ τῶν ἐν αὐτοῖς διαφερόντων· ἔστι τὸ ἔδαφος
γὰρ ὁ χόνδρος, περὶ ὃς ψόφος, καὶ ἦχος· λέγεται δὲ
ὦτα, παρὰ τὸ δέχεσθαι τὴν ὄπα, τουτέστι τὴν φωνήν·
ἡ γὰρ ἀκοὴ διὰ τοῦ ἐγκεκρυμμένου τοῖς ὠσὶν ἀέρος
γίνεται· ξηροτέρου μᾶλλον ὄντος, ἢ λεπτοτέρου·
ἔστι δὲ τοῦτο, κατὰ μὲν τὸ ἔνδον στρογγυλοειδές, ἔχον
ἐσχάτως ὅπερ ὁμοιόσχημόν ἐστιν αὐτῷ, ἐν ᾧ περ ὡς
ἐν ἀγγείῳ κενῷ πάσης φωνῆς ὁ ψόφος ἀποδέχεται, καὶ
ἔστι δὴ τοῦ ὠτὸς ὅπερ πρὸς τὸν ἐγκέφαλον οὐκ ἔχει
πέρας, ἀποδίδωσι δὲ εἰς τὸν τοῦ στόματος οὐρανόν, καὶ
ἐκεῖθεν τανομένη φλὲψ εἰς τὸν ἐγκέφαλον πρὸς
αὐτὸν ἀναβιβάζει τὸν ψόφον· ἐκεῖθεν ὁ νοῦς τὰς

περὶ τῆς ἄνω γένυος:· ὅτι τὴν μὲν κάτω γένυν πᾶν ζῷον κινεῖ· τὴν δ' ἄνω μηδὲν, εἰ μὴ ὁ κροκόδειλος, καὶ ὁ φοῖνιξ:–

περὶ γένυος:

περὶ ὤτων

περὶ πῶς γίνεται ἀκοή:

περὶ τοῦ σχήματος τοῦ ὠτός, καὶ τοῦ ἔσω χάους τοῦ ὀφρύου αὐτοῦ:·

περὶ τοῦ ἀναβαίνει ὁ ψόφος πρὸς τὸν ἐγκέφαλον καὶ πῶς ἀποδέχεται ὁ νοῦς, καὶ διαγινώσκει:

ἀκουστικὸς αὐτὴ λείπεται καὶ δέχεται, καὶ γνωρίζει, ἢ
διακρίνει περὶ τούτων τὴν τε ὀξεῖαν, καὶ τραχεῖαν φωνὴν.
καὶ τὴν λείαν, καὶ ἀηδῆ· εὐηχώδη τε καὶ κακόμελῆ.
καὶ οὐ τοσαῦτα τῆς ἀκουστικῆς αἰσθήσεως γνωρίζει, καὶ
διακρίνει τὰ ὁ φύσας. οὐ γὰρ ἐπ' αὐτῇ θατέρας ἥνικηται

ὁ μέ(γας) βασίλ(ειος)

ἡ ἀκοὴ ὥς φησιν ὁ μέγας βασίλειος, ἀλλὰ λειπῶς διὰ
τῷ πόρῳ, τὸ ἐν αὐτῷ ἀέρι ψόφον αὐτὴ λαμβάνεται.
ὡς τό, τὴν μὲν φωνὴν ἀκωλύτως διεξιέναι, ἢ καὶ
μᾶλλον ἐνηχεῖν περιεχομένου μένω ταῖς κοιλότησι. μη-
δὲν δὲ τῶν ἔξωθεν περιεμπιπτόντων κωλυμάτων
δύνασθαι τῇ αἰσθήσει. τὸ μὲν οὖν κοῖλον τοῦ ὠτὸς, κυ-
ψέλη λέγεται, διὰ τὸ κυφὸν τό, καὶ κογχῶδες, καὶ
τοῖς ἀγγείοις ἐοικέναι αὐτοῖς. αὐτὴ δὲ κύμβαλον ὥσπερ
τῇ θεωρίᾳ κόσμος τῆς κεφαλῆς γινόμενος, ἵνα
μὴ πάντη ὁλόγυρος οὖσα, μὴ μόνον ἀπρεπὴς, ἀλλὰ
καὶ κολοβὴ δείκνυται. ὁ δὲ ἐν τῷ ὠτίῳ ῥύπος γενό-
μενος κυψελὶς ὀνομάζεται, ἐκ τῆς ἀναθυμιάσεως
τῆς ξανθῆς χολῆς συνιστάμενος. ἡ δὲ ἀποτελευτή-
σις τοῦ ὠτὸς, σαρκίον ἐστὶ καὶ οὐ χόνδρος· λέγεται δὲ λο-
βὸς, παρὰ τὸ λοβῶ, λοβός, ἀποτέμνεται γὰρ ταῦτα
διὰ κακίαν ὥς φησιν ὁ ὅμηρος, ὃς κάτω εἶναι τὰ μέρη

ὅτι τὸ κοῖλον τοῦ ὠτὸς κυψέλη λέγεται: +

ὅτι ὁ ῥύπος τοῦ ὠτὸς κυψελὶς λέγεται:

ὅτι ἀποτελεύτησιν ὠτὸς καὶ λοβὸς λέγεται:

καὶ οὖλα· διαιροῦνται δὲ τὰ ὦτα εἰς ψιλὰ, καὶ δα-
σέα, καὶ μέσα, τὰ δὲ τὴν μέσην ἔχοντα εἶναι, βέλ-
τιστα εἶναι πρὸς ἀκοήν· ἦθος δὲ οὐδὲν αὐτὸ τοῦτο χαρακ-
τηρίζεται, ἀλλ' ἢ τῶν μικρῶν, ἢ μεγάλων, μὴ τὰ
τῶν σφόδρα ἐπανεστηκότων μωρολογίας λέγου-
σι, καὶ ἀδολεσχίας σημαντικά, τινὲς δὲ καὶ πολυ-
ζωΐας, ἢ νοῖς ἀσὶν ἐχαρακτηρίσαμεν· μόνος δὲ
ὁ ἄνθρωπος καὶ πίθηκος οὐ κινοῦσι τὰ ὦτα, τῶν ἄλλων
πάντων ζώων τῶν ἐχόντων ὦτα κινούντων αὐτά· τὰ
ὑποκάτω τοῦ ὠτὸς, γνάθοι λέγονται, καὶ χαλινοί·
γνάθοι μὲν παρὰ τὴν γνάψιν, καὶ κάμψιν τῶν ὀστῶν.
ἐκ τοῦ καὶ μετώπου ὅπου τὸ γνάπτεται· ὅμηρος· ἐπεὶ γνάπτε
γὰρ ἀσπίδας ἠρηλισμένη· λέγονται δὲ χαλινοὶ
παρὰ τὸ χαίνειν, χαίνοντες γὰρ τὴν αἴσθησιν ποιούμε-
θα τῶν ὀσφραινομένων· τὰ δὲ ἐπικαλύπτοντα τὸ
στόμα χάλη καλοῦνται, οἷον καὶ χείλη, τὰ θυρώματα
καὶ κλείοντα τὸ στόμα, καὶ τοὺς ὀδόντας, ἢ ἀπὸ τοῦ διὰ
τῶν τὸν χυλὸν τοῦ τῆς τροφῆς λαμβάνειν, χυλὸς δὲ
ἡ τροφή, μαλθακὴ σάρκα γὰρ εἰσὶ καὶ φλεβώδη, μὴ
ἔχοντα τὸν ἀέρα, δι' ὧν ἡ κίνησις αὐτοῖς τῆς διαλέκτου
προσγίνεται· σύγκειται δὲ ἀπ' ἐκτελῶν ἡ τούτων οὐσία, χα-

διαιρέσεις ὤτων, ἢ ποῖα βέλτιστα:

ὅτι μόνος ὁ ἄνθρωπος καὶ ὁ πίθηκος οὐ κινοῦσι τὰ ὦτα:-

ποῖαι λέγονται γνάθοι:+ ὅμηρος

περὶ χειλέων ἢ τῶν κινήσεων αὐτῶν ἢ τῆς συνθέσεως τῆς οὐσίας αὐτῶν:

ἢ σιραγγώδη φύσει, ἢ δερματώδη ἢ μυώδη.

ἔχουσα γὰρ ἡ δὴ μοιχικὴ φύσις δερματώδη τινὰ
ἢ σαρκώδη — αἱματώδη
φύσιν, καὶ σιραγγώδη, καὶ μυώδη, καὶ κεράσασα
ὅλα δι' ὅλων, καὶ μίαν ἐξ αὐτῶν ποιήσασα κρᾶσιν
τὸ τῶν χειλέων ἀπετέλεσε σῶμα· διὰ γὰρ τούτου ἐ-
πὶ τῇ λύσει τῆς σωματικῆς χάας αὐτῶν ἀναπληροῦσαι τὸ
λαπὸν οὐ δυνάμεθα, ἐμφαίνειν χρήμεθα συ-
νάπτοντες αὐτὰ ταῖς χερσίν, καὶ οὕτως συμφύναι ποι-
οῦμεν·

περὶ τριχῶν ἐπάνω τοῦ χείλους:

αἱ δὲ τρίχες αἱ ὑπάνω τῶν χειλέων ἀπὸ τοῦ
μυστῆρος γινόμεναι, μύσταξ καλοῦνται· ἡ μύσταξ,
ἀπὸ τοῦ μασᾶσθαι τριχῶν· οἱ δὲ ἰδιῶται μουστάκα
λέγουσιν, ἢ μουστάκια:+

περὶ πώγωνος:

Πώγων, λέγεται καὶ ὑπήνη· πώγων μέν, ὅτι πῆξιν
ἡλικίας τοῖς ἀρχομένοις δηλοῖ· ἐν τῇ τῶν ἰούλων ἐκ-
φύσει· καὶ γὰρ ὑπήνη αἱ ὑποκάτω τοῦ γενείου τρίχες
εἰσί, ἀπὸ τοῦ ὑπεῖναι καὶ ὑποκεῖσθαι τῷ γενείῳ:+

περὶ ἰούλων:

Ἴουλοι δ' εἰσίν, αἱ κατὰ τῶν παρειῶν ἐπὶ τοῦ θαλασσίω
πεπηκότι πρῶτον ἀναβλαστάνουσαι τρίχες, ἀπὸ
ἰούλου ζώου πολύποδος οὕτως κληθεῖσαι· ὅτι τὸ λέ-
γειν ἄγαν τοῖς τῶν ἰούλων ἐπανθοῦσιν ὁ χρόνος· ἱκανοὶ
γάρ εἰσιν οἱ γενειῶντες πρὸς τὸ λέγειν τὰ δέοντα·

διατί πρόσωπον λέγεται:

πρόσω
δὲ τοῦ τὸ μέρος ὅλον, καὶ πρόσωπον καλοῦσι, πρόσω

γὰρ τοῖς ὦπας, ἀλλ' οὐκ ἐκ πλαγίου φέρουσα, διὸ καὶ
μόνοις ἀνθρώποις λέγεται, ἤτοι κατηγορεῖται, ἐπὶ γὰρ τῶν
ἄλλων ζῴων πρόσωπον λέγειν οὐ θέμις· παρειαὶ δέ, — πόθεν παρειά·
παρὰ τὸ παρατετᾶσθαι, καὶ οὐ μέρος τοῦ προσώ-
που τυχόν, ἢ ἄνω, ἢ κάτω, ἢ ἐκ πλαγίων, ἀλλὰ συνεκ-
δοχικῶς ὅλον τὸ πρόσωπον, φησὶ γὰρ Ὅμηρος, ὦχρος — Ὅμηρος·
τέ μιν εἷλε παρειάν· οὐ μέρος λέγων, ἀλλ' ὅλον πα-
ρεκλάπτεται καὶ ὠχροιᾶται, ἔνθεν καὶ τό, χερσαῖαι μέν
ἀνδρεμένοις, ἢ τό, τὸν τεν δ' ὠχρὸς ὠπήχθην· μετα-
βολὴ γάρ ἐστι τῆς οὐσίας, ὡς καὶ τῆς κατὰ φύσιν χρό-
ας τὴν παρὰ φύσιν ὀχρότητα, οὐ γὰρ κατὰ φύσιν
ἔχουσιν οἱ ἐν ὀχρότητι ὄντες· ἀλλ' ἢ διὰ φθόνον, ἢ διὰ
ἀσθένειαν ἣν πάσχουσιν· ἔστι δὲ τὸ πρόσωπον, καὶ τῶν τῆς — ὅτι τὸ πρόσωπον δηλωτικόν ἐστι τῆς
ψυχῆς διαθέσεων δηλωτικόν, χαιρούσης γὰρ αὐτῆς φαι- — ψυχῆς διαθέσεως·
δρὸν ἐστί, καὶ γανύμενον· λυπουμένης δέ, καὶ τε-
φρῶδες, καὶ σκυθρωπόν· ὀργιζομένης δέ, πελιδνὸν
ἐστί, καὶ ὕφαιμον· ἐκπληκτικὸν ἐστί, καὶ μανικόν· διὸ — ἡ ἐγγραφή·
καὶ ἐγγραφή τίς ἐστι τῆς ψυχῆς ἐκ τοῦ σώματος, καὶ
ἐκ τοῦ προσώπου χαρακτηρίζεται· καρδίας γὰρ
εὐφραινομένης πρόσωπον θάλλει· ἐν δὲ λύπαις
οὔσαις, σκυθρωπάζει· καὶ ἀνὴρ θυμώδης οὐκ εὐσχήμων·

οἱ δὲ ἐν ἀκριβείᾳ ἐπιτετηρηκότες τὴν τοῦ προσώπου δι-
άθεσιν οὐ μόνον ἐκ τοῦ προσώπου, καὶ τῶν ὀφθαλ-
μῶν, ἀλλὰ καὶ τοῦ μετώπου, καὶ τῆς εἰς ὃ τὰ ἤθη
ἐπιτετηρήκασι τῶν ἀνθρώπων· τὸ γὰρ μέγα ἔχοντας μέ-
τωπον, βραδυνοίους φασὶν εἶναι· τὸ δὲ μικρόν,
ταχεῖς πρὸς τὸ νοῆσαι, καὶ λίαν πρὸς χαρὰν ταχεῖς·
τὸ δὲ πρὸς πλάτος τετράγωνον σχῆμα παρατεινόμενον, ἐπ-
αινετῶν ἀνθρώπων σύμβολον τίθενται· τὸ δὲ περιφερὲς εὐ-
κυκλοτερές, μικρόψυχον, καὶ θυμικῶν· αἱ δὲ
ὀφρῦες αἱ ἐπ᾽ εὐθείας κεκαμμέναι, χρηστόν, ἢ πρᾶον,
καὶ συμπαθὲς ἦθος διασημαίνουσιν· αἱ δὲ πρὸς
ἐπικεκαμμέναι, καὶ πρὸς τὸ ἐπικάμπτουσαι τῇ ῥινί,
καὶ καμπυλώδεις λεγόμεναι, τύφον ἦθος, ἢ
βλοσυρόν, καὶ καταπληκτικόν· αἱ δὲ μᾶλλον ἐπικε-
κλιμέναι πρὸς τοὺς κροτάφους, ἄφρονας δηλοῦσι τοὺς
ἔχοντας καὶ ἀπατεῶνας, καὶ χλευαστάς· οἱ δὲ ὀφ-
θαλμοὶ ἀλεγχοιάσι, καὶ κήρυκες ἐναργεῖς τῶν τῆς
ψυχῆς κεκρυμμένων, γνωρίσαις γὰρ αὐτοῦ τῶν, τὸν
δειλόν, τὸν ἀνδρεῖον, τὸν ἐρῶντα, τὸν βασκαίνοντα,
τὸν θυμώδη, τὸν ὑπνηλόν, τὸν ἐγρήγορον, τὸν φιλάρ-
γυρον, τὸν ἁπλοῦν, καὶ ἅπαξ ἁπλῶς πάσης διαθέσεως,

ὅρα φυσιογνωμίαν:

περὶ ὀφρύ(ων):

καὶ τερπνῆς ἡ τοῦ προσώπου διδασκαλία ἐναλλαγή· διὰ
τοῦτο δέ σοι τῶν ἀφανῶν διαθέσεων, καὶ τῶν κεκρυμ-
μένων ἠθῶν ἐμφανῆ παρέσχεν ὁ θεὸς τὰ σημεῖα,
καὶ σύμβολα φιλανθρώπως, ἵνα τοὺς ἰδίους προαιρου-
μένους τρόπους, συναυλιζόμεθα τοῖς πιστοῖς,
καὶ σπουδαίοις, ἀποφεύγοιμεν δὲ τοὺς φαύλους, καὶ
πονηρούς· τοῦτο γὰρ διδάσκουσα ἡ σοφία, βοᾷ· ἀν- ἡ σοφία
δρὶ θυμώδει μὴ συναυλίζου· μὴ δὲ συνδιάτριβε
βασκάνῳ, μὴ δὲ καθίσας μετὰ συνεδρίου
ματαιότητος, καὶ λοιμῶν, μὴ δὲ πορευθῇς μετὰ
παρανόμων· διὰ τοῦτο γὰρ ἡ δεδομένη δ' ἐκ τοῦ προσώ-
που τοῖς τοιούτοις χαρακτηρίζεσθαι· ἵνα φύγωμεν
τὴν μετ' αὐτῶν συναυλίαν· ἐκ τοῦ προσώπου γὰρ
καὶ Ἰακὼβ τοῦ Λάβαν τὸν φθόνον ἐγνωκὼς ἔλεγε· Ἰακώβ
ταῖς ἑαυτοῦ γυναιξί, ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς
ὑμῶν ὅτι οὐκ ἔστι πρὸς ἐμὲ ὡς χθές· τοῦτο καὶ ὁ προ-
φήτης εἰδὼς, λέγει, μὴ ἀποστρέψῃς τὸ πρόσω-
πόν σου ἀπ' ἐμοῦ, καὶ ἐπίβλεψον ἐπ' ἐμέ, καὶ ἐλέη-
σόν με· ὥσπερ γὰρ ὁ μὲν μισῶν ἀποστρέφειν· ὁ δὲ
φιλῶν ἐπιβλέπειν, καὶ ἐπιχαίρειν, καὶ μακαρίζειν:
τινὲς δὲ καὶ τοὺς ἀραιοὺς ἔχοντας τοὺς ὀδόντας, ὁ- περὶ τῶν ἀραιοὺς ἐχόντων τοὺς ὀδόντας

λιγώτερον ζῆν, τῶν συνεχόντων τὸ χαρακτηρί-
σαν· ἀλλ' ἡ μὲν τοῦ προσώπου σκιάσωσις ἀρκείσθω·
τῶν δὲ λοιπῶν μορίων ἡ φύσις, καὶ ἡ σύνθεσις,
καὶ ἡ ἐνέργεια ἐρευνάσθω· τὸ στόμα, τὸ μικρὸν ἔοικε,
τεχνικὸν γὰρ κινῶν τὰ λαμβανόμενα, ἅσι δὲ ἔσω τοῦ,
γλῶσσα, ὀδόντες, οὖλα, καὶ φατνώματα,
γαργαρεών, οὐρανίσκος, παρίσθμια, λάρυγξ,
τὸ πέρας τῆς τραχείας ἀρτηρίας, καὶ τοῦ οἰσοφάγου,
καὶ ἡ ἐπιγλωττίς· λέγεται δὲ ἡ πᾶσα τοῦ στόματος
χώρα, φάρυγξ, καὶ λαιμός: ἡ γλῶσσα ἐστὶ φλε-
βώδης τε, καὶ σαρκώδης, ὑπόπιμελος, αἰσθητι-
κὴ χυμῶν· συνεργὸς τῇ πόσει, καὶ διαμασήσει, καὶ
τῇ διαρθρώσει τῆς φωνῆς· κοινὰ ἔργα γὰρ τὸ στόμα, καὶ
ἡ γλῶσσα, καὶ οἱ ὀδόντες: τὰ μὲν γὰρ τέμνουσι τὰ σιτία,
οἱ δὲ λεαίνουσιν, ἡ δὲ παραπέμπει τοῖς τεμνομένου:
τὴν γλῶτταν δὲ ὁ δημιουργός, διὰ πολλὰς αἰτίας ἐ-
ποίησεν, μᾶλλον δὲ χρείας, καὶ ἐνεργείας· δι' αὐ-
τῆς γὰρ γίνονται αἱ καταπόσεις, ἀνατανακλωμένης,
καὶ παραπεμπούσης τὰ σιτία τῷ οἰσοφάγῳ,
καὶ αἱ διάλεκτοι δι' αὐτῆς γίνονται, ἐνδιπλομένης
τοῖς τῶν ὀδόντων, ἢ κυρτουμένης, ἢ τοι περιαγομένης

περὶ τοῦ στόματος, καὶ τῶν ἐν αὐτοῦ:

παρίσθμια λέγονται, τὰ περὶ τὴν φάρυγγα:-

περὶ γλώσσης:

ἢ τῇ διαλέκτῳ

διατί ὁ δημιουργὸς τὴν γλῶσσαν ἐποίησεν: +

καὶ ἄλλοτε ἄλλο τῶν ὀδόντων περιστρεφομένη, τῇ διαφόρῳ ταύτῃ κινήσει διὰ τῆς τῶν στοιχείων τε καὶ συλλαβῶν ἑνώσεως τὴν τῶν λόγων διαφορὰν ἐκτελεῖ· καὶ ταῦτα μὲν ὡς ἀπόλυτος οὖσα ποιεῖ: Συνδέδεται πάλιν ἀντίῳ λάρυγγι, ἵνα μὴ ἀποπίπτουσα τοῦ στόματος, ἄστατος τὰς εἰρημένας ἐνεργείας ἀπρακτῇ·

Ὁ δεσμὸς δὲ αὐτῆς, οἷον χαλινός, αὐτὴν ἀσινῶς τε ἁπάσας τὰς ἐνεργείας συμφερόντως, καὶ ἀκλόνητως ποιεῖν, ἅπερ εἰ ἔμμετρος κατεσκεύασται·

Εἰ δὲ χαλαρώτερα γίνεται, προκύπτει μᾶλλον τοῦ δέοντος ἡ γλῶττα, καὶ βλάπτονται ταύτης αἱ εἰρημέναι ἐνέργειαι, μὴ δεσμουμένης αὐτῆς χαλιναγωγεῖσθαι· Τὰ δὲ πᾶσι τούτοις πλεῖον συνδεθῆ, αἱ αὐταὶ βλάβαι ἀκολουθοῦσι, ὥστε καὶ τὰ χάλη καὶ διαλέξεως μόρια, καὶ οἱ ὀδόντες, καὶ ἅπαν τὸ στόμα ἐμποδίζεσθαι, καὶ κακοῦσθαι τὰς διαλέκτους:

Τῆς δὲ γλώσσης ἡ σάρξ, μανή τε πέφυκεν, καὶ σομφώδης, ὡς διὰ τοῦτο θᾶττον ἐκλαμβάνεσθαι τῆς γεύσεως τῶν χυμῶν:

Τῶν δὲ χυμῶν αἱ μὲν καὶ καλούμεναι ποιότητες εἰσὶν αὗται, γλυκύτης, ὀξύτης, δριμύτης, στρυφνότης,

Ποῦ συνδεῖται ἡ γλῶσσα, καὶ διατί: +

ἢ χαυνοτέρα

περὶ τῆς τῆς γλώσσης σαρκός: +

περὶ τῆς γεύσεως καὶ ποιοτήτων τῶν χυμῶν: –

ἢ σκληρότης

παυστικὴ ἐρεθιστική, ποιητικὴ ἐρεθιστική, ἀλμυρὰ ἐρεθιστική, λιπα-
ρὰ ἐρεθιστική· τούτων γάρ ἐστιν ἡ γλῶσσα διαγνωστική, καὶ
μᾶλλον τὸ ἄκρον αὐτῆς· ὄργανον γάρ ἐστι γεύσεως. σὺν
αὐτῇ δὲ καὶ ἡ ὑπερῴα, ἐν ᾗ τὰ ἐπιπλατυνόμενα
νεῦρα ἐξ ἐγκεφάλου φερόμενα τὴν ἀντίληψιν τῶν
γευστῶν πρὸς τὸ ἡγεμονικὸν ἀπαγγέλλουσι. καὶ τὰ μά-
θε γὰρ τῆς γλώττης τὴν φύσιν· ὁ θεῖος βασίλειος φησίν,
ὅπως ἁπαλή ἐστι καὶ εὐπερίφορος, καὶ πρὸς πᾶσαν
χρείαν τοῦ λόγου τῇ ποικιλίᾳ τῆς κινήσεως ἐξαρκοῦ-
σα· ἔστι δὲ καὶ πλατεῖα, καὶ στενὴ τῷ μεγέθει, καὶ μέ-
ση· καὶ ἡ μὲν πλατεῖα τὸ στόμα γεμίζουσα, ἀργὴν
τὴν ὁμιλίαν, καὶ ἄναρθρον ποιεῖ· ἡ δὲ στενή, καὶ μι-
κρὰ ἀπειδεῖσθαι πρὸς τοὺς ὀδόντας μὴ σώζουσα,
φαύλην τὴν λαλιὰν ἀποδίδωσι· ἡ μέση δὲ κατὰ
μέγεθος, τούτων ἀπήλλακται τῶν παθῶν, καὶ ἐστι
φελτίστη· ἡ δὲ ἐπιγλωττίς, ταύτης μέρος ἐστὶ τὸ ὑπε-
θεν, ἔχει δὲ αὐτὴν προσπεφυκότα τὸν καλούμενον
ἰσοφάγον, καὶ ὅταν διαμασησάμενοι καταχά-
σαντες προπέμπωμεν τὴν τροφὴν εἰς τὰ ἔσω·
ἐπιπωματίζει ἡ ἐπιγλωττὶς τὴν ἀρτηρίαν, καὶ κω-
λύει αὐτὴν ἐνεργεῖν, ἀφ' οὗ συμβαίνει μὴ κινουμένης

ὁ οὐρανίσκος·

περὶ ὑπερῴας, καὶ τῶν ἐν αὐτῇ φερομένων ἐξ ἐγκεφάλου νεύρων:

ὁ θεῖος βασίλειος:

ὅρα αἱρετὴ πλατεῖα, ἢ στενή, ἢ μέση γλῶσσα:

περὶ τῆς ἐπιγλωττίδος

τῆς ἀρτηρίας ὑπὸ τοῦ ἐντὸς τοὺς ἴσχεσθαι, καὶ τὸν πνεύ-
μονα περιέχεσθαι, ὅτι φθονουμένης τῆς ἀρτηρίας
γίνεται διαδώσεις τοὺς ἀπὸ τῆς κοιλίας μέχρι τοῦ πνεύμο-
νος· ἔχει γὰρ διαφύσας χονδρώδεις ὁ πνεύμων ἐξ ὧν
ξυνδέουσας, καὶ συνημμένας, δι' ὧν ἀναπνεῖ τὸ πνεῦμα ἀρ-
τηρίας ὁ ὅπως αὐτοῦ· καταθεῖναι εἰς τὴν καρδίαν ἐκεῖ-
σιν· ἐπιπωματιζομένης δὲ τῆς ἀλτηρίας ἤτοι τοῦ
σφιγκτοῦ· παρὰ τῆς ἐπιγλωττίδος ὡς εἴρηται πρό-
τερα πέμπεται ἡ τε τροφὴ εἰς τὸν στόμαχον· λέγεται δὲ
ἀλτηρία, καὶ ἀρτηρία· ἀρτηρία μὲν οἷον ἀερο-
τηρία, ἀπὸ τοῦ περιέχειν, καὶ τηρεῖν τὸ πνεῦμα· ἀλ-
τηρία δὲ παρὰ τὸ ἄλσαν, ἢ παρὰ ἄλλο μέλη, καὶ πη-
δῶσαι: λέγεται δὲ γλῶσσα, παρὰ τὸ κλώθω, κλώθο-
μένης γὰρ αὐτῆς ἡ ἔναρθρος φωνὴ ἀποτελεῖται· ἢ
οἷον, γνῶσσα, διαγνωστική γάρ ἐστι τῶν ἐν τοῖς χυμοῖς
ἰδιωμάτων, καθὼς ἤδη εἴρηται· πλὴν ἡ μὲν ὄψις ἡ
ἡ ὄσφρησίς τε, καὶ ἀκοή, καὶ πόρρωθεν, καὶ πάντα-
χόθεν τῶν ἰδίων αἰσθητῶν ἀντιλαμβάνεται, οἷον ὁρᾶ
καὶ μακρόθεν ἡ ὄψις, καὶ ἡ ὄσφρησις ὀσφραίνεται,
καὶ ἡ ἀκοὴ ἐνωτίζεται· ἁφὴ δὲ καὶ γεῦσις, τότε μόνον αἰ-
σθάνονται, ὅταν πλησιάσωσι τοῖς ἰδίοις αἰσθητοῖς:

ὅτι ὁ πνεύμων ἔχει διαφύσας χονδρώδεις.

ὅρα περὶ [illegible] ἡ τε τροφὴ εἰς τὸν στόμαχον.

ὅτι ἡ ἀρτηρία καὶ ἀλτηρία λέγεται πῶς [illegible].

πῶς αἰσθάνονται αἱ ἄλλαι αἰσθήσεις.

αἱ μὲν οὖν τῆς γλώσσης χρεῖαι, καὶ ἐνέργειαι εἰσὶν,
ὅτι πρός τε τὴν φωνήν, καὶ τὴν διάλεκτον, καὶ τὴν
γεῦσιν, καὶ τὴν διαμάσησιν ἐπὶ τὰ πάντα οἰκονομοῦ-
σα δύναμις ἐπὶ τηλικοῦτον αὐτὴν ἐχαρίσατο· καὶ
περὶ ὀδόντων: οὕτω μὲν περὶ τῆς γλώττης. λοιπὸν ἴδωμεν καὶ τῶν
ὀδόντων τὴν σύμπηξιν, καὶ τὴν φύσιν, καὶ τὴν ἐ-
ἢ οἱ μασῶσιν νέργειαν. ἢ μᾶλλον οἱ διαιροῦντες τὴν τροφήν, καὶ
κατεργαζόμενοι αὐτήν, συνεργοῦντες καὶ τῇ δι-
αρθρώσει τῆς φωνῆς. οἱ μὲν γὰρ τέμνουσι τὰ σιτία,
οἱ δὲ λεαίνουσι, οἱ καὶ μύλαι λεγόμενοι, ἢ μυλῆται,
ἀπὸ ὀδόντες τῶν ἄνω: ἐκ τοῦ αἴδω τῷ ἐσθίω, οὕτως ὀνομαζόμενοι, τρι-
άκοντα δύο εἰσὶ τὸν ἀριθμόν, ἓξ καὶ δέκα καθ᾽ ἑ-
κατέραν γένυν, οὕτως, τέσσαρες ἔμπροσθεν,
οἱ τῷ μασᾶσθαι χρώμενοι, μονόρριζοι πάντες. ἑκατέρω-
θεν δὲ ἀστῶν δύο οἱ κυνόδοντες, μονόρριζοι δὲ καὶ
οὗτοι. εἶτα οἱ γόμφιοι, τούτων ἑξῆς ἀνὰ πέντε,
τρίρριζοι μὲν οἱ ἐν τῇ ἄνω γένυι, δυοῖν τε ῥιζῶν, οἱ
ἐν τῇ κάτω. ἔσχατοι δὲ καὶ τετράρριζοι. γόμφιοι
γὰρ λέγονται, διὰ τὴν κάμψιν, ἐπικεκαμμέναι γάρ
ὅτι διαφέρουσιν οἱ ὀδόντες τῶν ἄλλων ὀστῶν: εἰσὶ αἱ συνεχοῦσαι αὐτοὺς σιαγόνες. διαφέρουσι
γοῦν τῶν ἄλλων ὀστῶν οἱ ὀδόντες ἐν τῷ αἰσθάνεσθαι

ἔχουσι γὰρ ἀρτίως αἴσθησιν, αἰσθητικῶν νεύρων ἐφ-
ερμένων αὐτοῖς φατνώμασιν οἷς ἐρρίζωνται· αἰσθάνονται
δὲ ὑπὸ τῆς ὁμιλίας τῶν ἀμέτρως ψυχρῶν, καὶ θερ-
μῶν· ἀλλὰ καὶ τῶν γευστῶν τὴν ποιότητα μεταλαμ-
βάνουσι διὰ τοῦ ἐμμένοντος ἰκάνου τοῦ ὑπαλάφοντος,
τὸν στόμαχον καὶ τὸν οἰσοφάγον, καὶ μὴ μόνον γλῶτ-
ταν, ἀλλὰ καὶ τοὺς ὀδόντας ὑπαλάφοντα, ὡς καὶ
τὴν τοῦ μασᾶν νάρκην αὐτοῖς ἐπιφέρεια· ¶ ἔτι δὲ
οἱ ὀδόντες γυμνοί εἰσι, τῶν ἄλλων ὀστῶν μὴ ὄντων γυμνῶν,
πάντα γὰρ τὰ ὀστᾶ ἔχουσι περικείμενον δέρμα καὶ
μύας· ¶ ἔτι δὲ διαφέρουσι αὐτῷ πίπτειν, καὶ αὖθις
φύεσθαι, οὐ μόνον ἐν ταῖς πρώταις ἡλικίαις, ἀλλὰ
καὶ ἐν ταῖς λοιπαῖς· ἱστορεῖται δὲ καὶ ἐπὶ γερόντων.
¶ εἰσὶ δὲ τῶν ὀδόντων, ¶ οἱ μὲν ἀραιοί, ¶ οἱ δὲ πυκνοί,
¶ ἄλλοι μεγάλοι, ¶ καὶ ἕτεροι μικροί· ¶ ἄλλοι κοχλωτοί,
¶ καὶ ἕτεροι καταθαρνάμενοι· οὐ μόνον ἀνθρώπων,
ἀλλὰ καὶ ζώων ἑτέρων· ¶ καὶ γὰρ ἀριστοτέλης τὰ
μὲν τῶν ζώων ἀμφόδοντα καλεῖ, οἷον ἄνθρωπον, ἵππον,
ὄνον, ἐλέφαντα· ¶ τὰ δὲ καρχαρόδοντα, οἷον,
λέοντα, λύκον, ἄρκτον, πάρδαλιν, ¶ τὰ δὲ σιωπό-
δοντα, οἷον, πρόβατον, βοῦν, αἶγα, δορκάδα:

τί φατνώματα

πῶς μεταλαμβάνουσι τὴν ποιότητα τῶν γευστῶν: +

ὅτι οἱ ὀδόντες γυμνοί εἰσιν: +

ἀριστοτέλης περὶ ὀδόντων:

τὰ δὲ χαυλιόδοντα, οἷον, χοῖροι, ἀσφάλακες, καὶ
ὅσα τοὺς ὀδόντας ὑπερφαίνουσιν ἔξω· τοὺς δὲ μυ-
λίτας τινές, σωφρονιστῆρας ἐκάλεσαν, διὰ τὸ φύε-
σθαι αὐτοὺς περὶ τὴν τοῦ ἄρχεσθαι φρονεῖν τοὺς παῖδας
ὥραν· ἡ δὲ συνέχουσα αὐτοὺς σάρξ, οὖλον ὀνομά-
ζεται· εἴρηται δὲ διὰ τὸ τρυφερὸν αὐτῆς, καὶ ἁπαλόν.
ἢ παρὰ τὸ ἀλᾶν· πρῶτον γάρ τινι τάχιον τάξιν ἐπέ-
χουσιν ἃς διακρατοῦσιν οἱ ὀδόντες. ἢ ὅτι οὐλή ἐστι χαλκὴν
ἐπιγινομένην τῇ τῶν φυομένων ὀδόντων ἀποκοπῇ,
καὶ ὑγιαζομένη· οὐλὴ γὰρ τὸ ὑγιασθὲν τραῦμα,
ὅθεν καὶ τὸ οὖλαι τὸ ὑγιαίνειν, οὖλέ τε καὶ μέγα χαῖ-
ρε· λέγονται καὶ αἱ τρίχες οὖλαι, αἱ φλούμεναι,
παρὰ τὸ ἀλεῖσθαι· καὶ οὐλαί, καὶ οὐλοχύται, αἱ ὁ-
λοκληρίαι τῶν κριθῶν· καὶ οὖλος, ὁ ὀλέθριος, παρὰ
τὸ ὀλλύω· ὄλλυτε κᾶνος ἐξ ἀνδρῶν. τὰ οὖλα οὖν
ταῦτα καὶ φατνώματα καλοῦσί τινες, ἢ φατνία,
παρὰ τὸ φαγεῖν· γὰρ φάτνη καὶ φάτνη. ἢ παρὰ τὸ πα-
τεῖσθαι, ὃ καὶ τὸ πάσασθαι παρακαλεῖ, ὡς τό, ἐπὶ
νῶ πάσασθαι· ἢ ὡς ὁ Καλλίμαχος, ἐκ κώνου πάτῆν
τε· γίνεται καὶ ἀπὸ τοῦ κάπτω ἡ φάτνη, παρὰ τὸ
κάπτειν, ὅ ἐστιν ἐσθίειν, φησὶν ἀεὶ σοφάνκος ἰσωδαισι,

περὶ μυλιτῶν·

ὅτι τὰ οὖλα ἢ φατνώματα λέγεται·

πάττω·

ἐκκαίων τὴν δίαιταν· ἢ παρὰ τὸ καίω, ὅ ἐστι πνῶ, ὥσπερ ἐν- ἀναγκαῖ.
τῶ· ἀπὸ δὲ ψυχὴν ἢ καὶ πίσσαν· ἢ διὰ τὸ καυταπνεῖ-
σθαι ἀπὸ τοῦ ἄσθματος τῶν ἵππων· ἢ παρὰ τὸ κεῖσθαι-
σθαι, καὶ κοιλαίνεσθαι. Ὁ γαργαρεών, κιονίς, καὶ στα- περὶ γαργαρεῶνος, ὅ ἐστι κιονὶς καὶ σταφυλὴ λέγεται: ἐτυμολ.
φυλή, παρὰ τῶν ἰατρῶν λέγεται· γαργαρεὼν δέ,
διὰ τὸν γινόμενον παρ' αὐτοῦ ἦχον ἐν τῷ ἀναγαργαρί-
ζεσθαι· σταφυλὴ δέ, ἀπὸ τοῦ σχήματος κατασταλάζεσθαι.
ἢ ἀπὸ τοῦ τὸ ἄκρον αὐτῆς φαίνεσθαι ὅμοιον ῥαγί·
κιονὶς δέ, ἢ παρὰ τὴν χύσιν τῶν ὑγρῶν, ἢ παρὰ τὸ
κίονος ἐχάντυπον, καθὸ ἂν τὴν οὖσαν ἐστὶ μικρὸν τὸ δὲ
σαρκίον τῆς φάρυγγος ἀπηρτημένον κίονι· ἀλλ' ὡς φω-
νῆς ὄργανον ἐξηχοῦν κατὰ τὸ ἀποτεθὲν πνεῦμα.
Ὁ πισθίσκος δὲ τὸ ἀφανὲς ἕτερον μέρος τοῦ στόματος ἐν ἐκείνῃ τῆς περὶ τοῦ ὀπισθίσκου: ὅτι τὰ μόρια τοῦ ὀπισθίσκου ὑπερῷα λέγονται: καὶ ἐτυ.
περὶ τὸν ὀπισθὸν ὁμοιότητος ὄνομα λαχών· τὰ δὲ παρ' αὐτῷ
μόρια ὑπερῷα λέγονται, ὡσπερεὶ ὡς περὶ τὸν ἰσθμώ-
δη, μετενήνεκται δὲ ἡ λέξις τοῦ ὑπερῷα, ἀπὸ τῶν ὑπερ-
ῴων οἰκοδομημάτων, καὶ τῶν μετεωρισμένων ἐπὶ-
τὴν ἕδραν, ἤγουν τὴν γῆν. φησὶ γὰρ ὅμηρος, χείλεα μέν τ' ἐδί-
ναι, ὑπερῴην δ' οὐκ ἐδίηνε· τοῦτο δὲ τὸ μέρος, καὶ φά- ὅτι καὶ φάρυγξ
ρυγξ καλεῖται, παρὰ τὸ φέρω, διὰ τὸ φέρεσθαι τὸ πνεῦμα· καὶ
τὸ παρώνυμον· λυκόφρων φησί, ἐτύμως σφαράγω· ὅτι ῥυμαλικ.

ὅρα περὶ ἀνθερεῶνος:

Καλλίμαχος, ἀφαρφαρόωσιν τὴν μηδὲν φέρουσαν-
φάρυγγα: Ὁ δὲ ἀνθερεών, ὃν καὶ λάρυγγα κα-
λοῦμεν, ἐκ τῆς γλωττίδος ἐστί, καὶ ἀρτηρία ἡ δι' αὐτῆς,
πλὴν στομίου τῆς, ἐοικὼς κυνοφύλλῳ, ὃς ἐπὶ μέσων
μὲν αὐτῷ καταπίναν τὴν τραχεῖαν ἀρτηρίαν, οὐ μὴν
εἰσέρχεσθαι ἐν αὐτῇ τῶν θρεμμάτων τι, ἢ τῶν πομάτων.
ἀνοιγόμενος δὲ τὴν ἀναπνοὴν παρασκευάσθαι ποιεῖ:

διὰ τί ἐκλήθη ἀνθερεών

ἐπεκλήθη οὖν ἀνθερεών, διὰ τὸ θορεῖν τὸ πνεῦμα ἐκεῖθεν,
ἢ οἷον ἀνθερεών, ὅτι ἀντιτίθεται αὐτῷ ἡ τροφὴ αὐτῷ
καταπίναν: λαιμὸς δὲ καὶ λάρυγξ, τοῖς ὀνόμασι διαφέ-
ρουσι μόνον, ἀνεργοῦσι δὲ τὸ αὐτό· παρὰ γὰρ τὸ λαύειν, ὅ ἐστι
τὸ ἀπολαύειν ἀμφότερα παράγεται· διὰ γὰρ λαιμοῦ,
καὶ λάρυγγος τὴν ἀπόλαυσιν ἔχομεν τῶν τροφῶν, λαι-
μὸς γὰρ τὸ ἀπολαυστικῶς ἔχειν εἴρηται παρὰ αἴτησιν· ἡ δὲ

ὅτι λαιμὸς καὶ λάρυγξ τὸ αὐτὸ πλὴν τοῖς ὀνόμασι διαφέρει

περὶ τῆς τραχείας ἀρτηρίας

ὑπερῴα μὲν τῷ λάρυγγι ἀρτηρία, τραχεῖα ὀνομάζεται,
ἐκ τοῦ πνεύμονος ἀνερχομένη, ὡς πόρος οὖσα αὐτοῦ,

ἢ διὰ τί λέγεται τραχεῖα

τετύχηκε δὲ τῶν ὀνομάτων τούτων τὸ τραχεῖα λέγεσθαι.

ὅτι ἐκ διαφόρων οὐσιῶν

Σύγκειται δὲ ἐκ διαφόρων οὐσιῶν, χονδρωδῶν λέγω,
καὶ ὑμενωδῶν· εἰδὼς γὰρ ὁ τεχνίτης τῆς φύσεως
ὅτι διαφέρει ἡ μέλλειν χρέας αὐτὸ τελεῖν τῇ τε ἀνα-
πνοῇ, καὶ τῇ φωνῇ, ἐκ χονδρώδους οὐσίας αὐτὴν ἐτεχνά-

στατο, καὶ ὑμενώδεις, διὰ τὴν τῆς φωνῆς ὡς ἐπὶ τὸ
πλεῖστον χρείαν. ἔδει γὰρ τὴν φωνὴν στερεωτέροις τισὶ μᾶλλον
προσκρούειν, καὶ μὴ μαλακοῖς· ἀλλὰ μὴν ὡς εἰ γὰρ ἂν οὕτως
ἐγένετο, ἢ ἐκ χόνδρων μόνον συνέκειτο, οὐκ ἂν ἠδύνατο
ἐπὶ πλεῖον διασταλῆναι ἐν ταῖς μεγάλαις φωναῖς, καὶ
διαρκέσαι ἐν τῇ ἀναπνοῇ, καὶ διὰ τοῦτο μεταξὺ τῶν
χόνδρων τοὺς ὑμένας συνέθηκε, ὥστε τοὺς χόνδρους
μὲν διὰ τὴν φωνήν, τοὺς ὑμένας δὲ διὰ τὴν ἀναπνοὴν
γενέσθαι. τραχεῖα μὲν οὖν ἐστιν ἔξωθεν, ἔσωθεν δὲ
οὐκ ἔτι, ὑπαλείφει γὰρ αὐτῆς ὅλον τὸ πέρας ὑμὴν
λεῖος, ἵνα μὴ πρὸς τὸ πλεῖστον ἡ τῆς φωνῆς ὕλη
τραχύνεται. ἡ ὕλη δὲ τῆς φωνῆς, πνεῦμά ἐστι. πλησίον
δὲ αὐτῆς, ὁ οἰσοφάγος ἐπίκειται. πόρος δέ ἐστι καὶ αὐτῆς
τῆς γαστρός, ὁ τὴν τροφὴν εἰς αὐτὴν προσκομίζων. ἐκ τοῦ
οἴω, τὸ κομίζω, οὕτως ἐτοιμασθαι. ἐστὶ δὲ καὶ αὐτὸς νευρώ-
δης, καὶ οἷον ἐντεροειδής. τὰ δὲ παρίσθμια σαρκία
εἰσὶ τοῦ φάρυγγος μυώδη, καὶ νευρώδη. λέγονται δὲ
οὕτως, διὰ τὸ στενὸν τοῦ ἐνταῦθα τόπου, καὶ διὰ τὸ πα-
ρακεῖσθαι τῷ ἰσθμῷ. ἰσθμὸς δέ ἐστιν ὁ στενὸς τόπος, δι' οὗ
ἐστιν ἰέναι τὴν πνοήν. ἡ γὰρ μεταξὺ χώρα τοῦ οἰσοφάγου,
καὶ τῆς τραχείας ἀρτηρίας ἰσθμὸς καλεῖται. παρὰ τὸ —

ὅτι ἔξωθεν τραχεῖα, ἔσωθεν δὲ οὐκ ἔτι·

τίς ἡ ὕλη τῆς φωνῆς·

περὶ οἰσοφάγου·

παρίσθμια·

τί ἰσθμός, ἢ πόθεν κατωνόμασται·

δι' αὐτῶν ἀσιέναι τὰ ποτά, καὶ τὰ βρώματα· ὅθεν
καὶ παρίσθμια, καὶ ἀντιάδες λέγονται, διὰ τὸ ἀν-
βράγχη: τικεῖσθαι ἀλλήλων. τινὲς δὲ καὶ βράγχη καλοῦσιν αὐτά.
ἐντεῦθεν γὰρ τὸ βραγχιᾶν πάθος γίνεται· πᾶν γὰρ
ὑγρόν, ἐκ φάρυγγος, καὶ λάρυγγος, καὶ βραγ-
τὰ βραγχία: χίων φέρεται: εἰσὶ δὲ καὶ βραγχία σαρκία μυώ-
δη. ἡ πᾶσα τοίνυν τοῦ στόματος χώρα φάρυγξ λέγεται
ποῖος φάρυγξ, καὶ ποῖος λάρυγξ: καὶ λάρυγξ, καὶ τὸ μὲν ἐσώτερον, λάρυγξ, τὸ δὲ ἐ-
ξώτερον φάρυγξ:+ περὶ φωνῆς:+
ποῖα τὰ φωνητικὰ ὄργανα: Φωνητικὰ ὄργανα ταῦτα, ὁ γαργαρεών, ὁ λάρυγξ,
ἡ τραχεῖα ἀρτηρία· ὁ πνεύμων, ὁ θώραξ, καὶ τὰ
ποῖα τὰ διαλεκτικά: παλινδρομοῦντα νεῦρα: διαλεκτικὰ δέ, γλῶττα,
ὀδόντες, χείλη, ῥίς, ὁ κιονίσκος, καὶ ὁ γαργαρεών.
καὶ ἐνταῦθα γὰρ συμβάλλεται, οὕτω δὲ ἡ φωνὴ γίνε-
σθαι πέφυκε· ἐπειδὰν τὸ πνεῦμα ἀπὸ τῶν πνευματο-
δόχων ἀγγείων ἀνωθούμενον, ὅταν ἡ ὁρμὴ τοῦ φθεγ-
γομένου πρὸς φωνὴν τονώσῃ τὸ μῆκος ταῖς ἔνδοθεν προσ-
κρουόμενον προσβολαῖς, αἳ κυκλοτερῶς τὸν αὐλοει-
δῆ διειλήφασι πόρον· μιμεῖται πως τὴν διὰ αὐλοῦ γενο-
μένην φωνήν, ταῖς ὑμενώδεσιν ἐξοχαῖς κύκλῳ πε-
ριδονούμενον· ὑπερῷα δὲ τὸν κάτωθεν φθόγγον ἐκ-

δέχεσθαι, τῷ κατ' αὐτὴν κινήματι· ἐν τοῖς διδύμοις αὐλοῖς, τοῖς κά-
τω τὴν κινητῆρας διήκουσι, καὶ οἷον λεπίδων τοῖς ἐξο-
χαῖς τοῖς περὶ τὸν ἰσθμὸν χόνδροις τὴν φωνὴν περισχίζουσα,
γεγωνοτέραν τὴν ἠχὴν ἀπεργάζεσθαι· παραπλησία δὲ, καὶ
γλῶσσα, καὶ ἡ κατὰ τὸν φάρυγγα διασκευή, καὶ θὴν
καὶ ἀνθερεὼν ὑπὸ χαλῶν κοιλαινόμενος, καὶ ὀξύτερ[ον]
ἐπιτείνεσθαι τὴν αὐτῆς ταχείαις τοῦ πλήκτρου κινήσεσιν,
ὑποκρίνεσθαι ποικίλως, καὶ πολυτρόπως συμπολῶ-
ταχα, μεθαρμόζονται πρὸς τὴν χρείαν τοῦ τόνου
τῶν μουσικῶν, χαλκέων δὲ διαφορὰ, καὶ ἐπὶ μυσοῖς,
ταὐτὸν ποιεῖ, τοῖς διὰ τῶν δακτύλων ἐπιλαμβάνουσι
τοῦ αὐλοῦ τὸ πνεῦμα, κατὰ τὴν ἁρμονίαν τοῦ μέλους,
σύμμικτος γὰρ ἡ μουσική, περὶ τὸ ἀνίκανον ὄργανον,
αὐλοῦ, καὶ λύρας· ὥσπερ ἐν συνῳδίᾳ τινὶ καὶ ταῦ-
τῶν ἀλλήλοις συμφθεγγομένων· καὶ οὕτως μὲν ἡ φω-
νὴ γίνεται, καθ' ὃν εἴρηται τρόπον· τοῦ μὲν πνεύμονος
ἐκφυσῶντος τε καὶ τὴν ὕλην παρέχοντος διὰ τῆς τρα-
χείας ἀρτηρίας, ὥσπερ τινὸς αὐλοῦ διαπορθμευού-
σης, τὸν ἀέρα πληττομένου ὑπ' αὐτῆς, καὶ τοῖον
ἦχον ἀποτελούσης· οὐδὲν γὰρ ἡ φωνή, ἢ πλῆξις ἀέ- ὅρος φωνῆς
ρος, ἢ ἀὴρ πως πληττόμενος, φωτίζουσα τῷ λόγῳ τὸ ἐν

τοῦ νοὸς διανοίας: Ἡ δὲ, καὶ τὸ χάλης, καὶ κίερις, ἢ ὁ ἀνθερεὼν, ὃν καὶ σταφυλὴν καλοῦσιν· εἴρηται μικρῷ πρόσθεν: Ὁ δὲ γαργαρεὼν, ὃν καὶ σταφυλὴν καλοῦσιν, οὐ μόνον δίκην πλήκτρου τὸν ἀέρα ἐμπνεόμενον προσκρούων αὐτὸν διατυπᾷ τὴν ᾠδήν. ἀλλὰ καὶ ἑτέραν χρείαν οὐ μικράν, τῇ τε τραχείᾳ ἀρτηρίᾳ παρέχει, καὶ εἰς ὅλον ποιεῖται τὸν λάρυγγα, πρὸς τὸ ταῖς ἀμέτροις τοῦ ἀέρος μεταβολαῖς, θερμότητος τυχὸν, ἢ ψύξεως, ἀνθιστάμενος πρῶτος, ἢ ἀπαντῶν, ὥσπερ μεσιτείαν ἀγαθὴν ἀμείβειν· καὶ οὕτως παραπέμπει τὴν ἀρτηρίαν τὴν ἀναπνοὴν, καὶ δι᾽ αὐτῆς τῷ πνεύμονι, καὶ τῇ καρδίᾳ, Οὐ μόνον δὲ τῆς ψύξεως καὶ θερμότητος εὐκρατεῖ ὁ γαργαρεὼν δυσκρασίας, ἀλλὰ καὶ παχύτητας τοῦ ἀέρος ἐκ καπνοῦ, ἢ κονιορτοῦ ἐπελθοῦσας αὐτὸν λεπτύνει· καὶ καθαίρειν δίκην ἠθμοῦ, καὶ ἀλικερνῆ τὴν ἀναπνοὴν παραπέμπει τοῖς ἔσω: Ταῦτα τῶν φωνητικῶν ὀργάνων ὀνομασίαι, καὶ χρεῖαι, καὶ ἐνέργειαι:— Ἡ δὲ ἀφωνία ἀπὸ νεύρων ἄνω, καὶ ἡ κακοφωνία, γίνεται καὶ οὕτως μὲν τε διαφράττει τὸν θώρακα, ἀρχόμενοι ἀπὸ τοῦ στέρνου, καὶ ἀφικνοῦνται μέχρι

ὅρα ἐνέργειαν γαργαρεῶνος:

τῆς λάρυγγος· ὡς γίνεσθαι δύο κοιλίας ἐν τῷ θώρακι·
καὶ μέσον τῶν κοιλιῶν εἶναι τὸν πνεύμονα· διηρημένων
οὖν αἱ δύο κοιλίαι ἀπ' ἀλλήλων, ὡς μὴ δύνασθαι
μεθίστασθαι ἀπὸ τῆς δεξιᾶς κοιλίας ἐπὶ τὴν ἀριστε-
ράν, μήτε ἀπὸ τῆς ἀριστερᾶς ἐπὶ τὴν δεξιάν· συμ-
φαίνει τοίνυν ἐν ψύξεως, ἢ καὶ ὅπως ἑτέρως ἐλθεῖν τινὰ
χυμὸν ἐπὶ τὰς ἀρμεναίας κοιλίας, κατὰ τὸ ἐμφράξαι
αὐτάς, κἀντεῦθεν γίνεσθαι τὴν ἀφωνίαν· Εἰ μὲν
οὖν μία τῶν κοιλιῶν πάθῃ, ἡ μικροφωνία παρακολου-
θεῖ· Ἐὰν δὲ αἱ δύο, ἡ παντελὴς γίνεται ἀφωνία, ἢ
παρὰ μὲν φωνῆς ἡ σκέψις αὐτάρκης· λοιπὸν ἴδω-
μεν πῶς ἡ ἀναπνοὴ γίνεται, καὶ τί τὸ ἐνεργοῦν μόριον·
καὶ πῶς ἄλλοτε μεγάλη, ἄλλοτε μικρά, ἄλλοτε μέσως
ἔχουσα φαίνεται· καὶ δεῖ εἰδέναι ὅτι τὴν κατὰ
φύσιν, καὶ ἀβίαστον ἀναπνοὴν τὸ λεγόμενον διάφραγ-
μα ἀπεργάζεται· ἐπειδὴ τὸ διάφραγμα, ὑμὴν περι-
ζωννύων ὅλον τὸ σῶμα· διαχωρεῖ γὰρ δὲ τὰ θρεπτι-
κὰ μόρια, ἀπὸ τῶν ἀναπνευστικῶν· Εἰ δὲ ἐπαισθῶ-
ται μόνη ἡ ἀναπνοή, τότε καὶ οἱ μεσοπλεύριοι μύες
ἐνεργοῦσι· ὅταν δὲ ἔτι ἐπὶ πλεῖον γένηται ἐπιτεταμένον,
τότε καὶ οἱ ὑψηλοὶ λεγόμενοι μύες ἐνεργοῦσι· καὶ ὥσπερ

πῶς ἡ ἀνα-
πνοὴ γίν(εται):

ποῖόν ἐστι τὸ
διάφραγ-
μα· καὶ τί:

ἐν τῷ ἠρέμα καὶ μὴ ταχέως βαδίζειν. ἐνεργεῖ τὸ διάφραγ-
μα τὴν κατὰ φύσιν ἀναπνοήν, οὐ τὴν ἐπιτεταμένην.
οὐκ ἐξαρκεῖ μόνον τὸ διάφραγμα ἀναπληρῶσαι τὴν
χρείαν, συνεργοῦσι καὶ οἱ μεσοπλεύριοι μύες· ὥσπερ
ἐπὶ τῶν ὀξέως βαδιζόντων. ἐπειδὴ ἐπὶ πλεῖον ἐστὶν ἐπι-
τεταμένην, καὶ βεβιασμένην τὴν τῆς ἀναπνοῆς, ἐ-
πειδὴ τότε οὐκ ἐξαρκοῦσι τό τε διάφραγμα, καὶ οἱ μεσο-
πλεύριοι μύες, ἀναπληρῶσαι τὴν χρείαν, τότε καὶ οἱ

ὅρα περὶ τῶν ὑψηλῶν μυῶν τὴν ἐνέργειαν·

ὑψηλοὶ λεγόμενοι μύες ἐνεργοῦσιν, ὥσπερ ἐπὶ τῶν
τρεχόντων, καὶ ἐντεταμένως γυμναζομένων. ἀξιο-
λογωτάτη δέ ἐστιν ἡ ἀναπνοὴ τῶν ἐνεργειῶν τοῦ σώ-
ματος, μᾶλλον δὲ τῆς ψυχῆς. ἐδείχθη γὰρ καὶ ἔμ-
προσθεν, ὅτι πάντα τὰ ἀπὸ μυῶν, καὶ νεύρων κινού-
μενα μόρια, ἐκ τῆς ψυχικῆς δυνάμεως τὴν ἐνέρ-

ὅτι ἀξιολογωτάτη ἡ ἀναπνοή·

γειαν λαμβάνει, καὶ ψυχικά ἐστιν. ἀξιολογωτάτη δέ
ἐστιν ἡ ἀναπνοή, ἐπειδὴ ζωοποιεῖ καὶ ἀναψύχει τὸ ἔμ-
φυτον θερμόν, καὶ ὑγιῶς αὐτῆς ἐχούσης ἀσφαλῶς ζῆν κα-
λῶς τοῖς ζώοις συμβάλλεται. βεβλαμμένως δὲ δια-
κειμένης, σφάλλει τὰ ζῶα, καὶ διαφθείρει αὐτά. γε-

περὶ τῶν δ΄ αἰτίων τῆς ἀναπνοῆς·

νέσεως γὰρ αἴτια τῆς ἀναπνοῆς τέσσαρα δείξη τις· ποιη-
τικόν, ὑλικόν, ὀργανικόν, τελικόν. καὶ ποιητικὸν αἴτιον μ

τῆς ἀναπνοῆς, ἡ δύναμις τῆς ψυχῆς, ἡ κινοῦσα τοὺς
μύας τοῦ σώματος· ὑλικὸν δέ, αὐτὸς ὁ ἀὴρ ἔξωθεν,
καὶ εἰσπνεόμενον πνεῦμα· τελικὸν δὲ ἡ χρεία, δι' ἣν ὅλη
αὕτη, διὰ μὲν τῆς ἀναπνοῆς ἀσπάζεται καθαρὸν ἀέρα,
καὶ ἐμψύχει τὸ ἔμφυτον θερμόν· διὰ δὲ τῆς ἐκπνοῆς
ἐξαίρουσα τὰ λιγνυώδη περιττώματα· χρεία δὲ
καὶ ὁ τρέφειν τὸ ψυχικὸν πνεῦμα· ἥτις γίνεται διὰ μόνης
τῆς ἀναπνοῆς· ἕλκεται γάρ τις ἀέρος μοῖρα κατὰ τὰς (πῶς τρέφει
διαστολὰς τῆς καρδίας εἰς αὐτήν, καὶ τρέφει τὸ ψυχικὸν πνεῦμα τὸ ψυχικὸν
τὸ ἐν τῇ καρδίᾳ, καὶ διαφυλάττει αὐτὸ εἰς τὴν κατὰ φύσιν πνεῦμα:)
αὐτοῦ θερμότητα: ὀργανικὸν δὲ ἐν αἴτιον τῆς ἀνα-
πνοῆς, τὸ διάφραγμα, καὶ οἱ μεσοπλεύριοι μύες,
καὶ οἱ λεγόμενοι ὑψηλοί· ὧν κατὰ τὰ ἐκτεταμένων συ-
νίστανται δύσπνοιαι: τί δὲ αἱ δύσπνοιαι, καὶ πῶς συνί-
στανται, καὶ πόσαι τὰ αὐτῆς διαφοραί, οὐ τῆς παρούσης
σκέψεως τὸ ἀπαιτεῖν: μᾶλλον δὲ περὶ τοῦ στήθους διαγνώ- (περὶ τοῦ στήθους.)
σομεν, καὶ περὶ τῆς ἐν τῷ θώρακι μὲν περιεχούσης ἐρ-
γασίας: τὸ στῆθος λέγεται καὶ στέρνον, καὶ θώραξ, ἔτι
καὶ κύτος διαιροῦσιν αὐτά· πλὴν στέρνον μέν, διὰ τὸ
στερεόν, καὶ στῆθος παρὰ τὸ αὐτό, διότι ἐστήρικται ἀσά-
λευτον· ἄλλοι δὲ ὅτι ἐν αὐτῷ τὸ ἡγεμονικὸν ἔστηκεν,

ἐξοῦ καὶ τὸ στυγαίτες λωβήσεσι, οἷον ἐν τοῖς στήθεσιν
διανοεῖται τοὺς τοῦ ἀδικῆσαι, ἢ βλάψαι σε· ἢ ὅτι διὰ –
τοῦ πλησιέστερον τὰ σιτία εἰς τὴν κοιλίαν διωθεῖται,

περὶ θώρακος, ἢ τὸ θενχλ...):

οἷον, σιτίωθος: θώραξ δὲ, οἷον ὅρος καὶ φύλαξ τοῦ
θερμοῦ. ἢ τῆς θορούσης, ἢ τοῦ πηδώσης καρδίας·
ἢ τοῦ θείου καὶ ἡγεμονικοῦ τῆς ψυχῆς, ἢ τοῦ θυμικοῦ,
οἷον, θώραξ, ἀπὸ τοῦ πάντα τὰ πράγματα κινεῖσθαι διὰ
τοῦ περιεχομένου τόπου ὑπὸ τῆς καρδίας, ἡγεμονικοῦ
ὄντος, θώραξ οὖν λέγεται ὁ δεκτικὸς τῆς τροφῆς τόπος·

: τὸ οἴνου

τὸν οὖν οἶνον ἀμυστὶ πλάμενον, θωρήξασθαι ἔλεγον,

ἱπποκράτης

ὡς καὶ ἱπποκράτης, λιμὸν θώρηξις λύει· τὴν πολυ –
ποσίαν λέγων: καὶ ἀλλαχοῦ πίνδαρος ποτὲ θωρηχθεὶς
ἔπειτ' ἀλλότριον· θώραξ δὲ, τὸ ὅπλον· ἀπὸ τοῦ περι –
εχομένου τὸ περιέχον προσειρῆσθαι· ὡς ἀπὸ τῆς ἀσπίδος,

θώραξ:

καὶ τῆς περικεφαλαίας· ἔστιν οὖν ὁ θώραξ, χονδρώδης,
καὶ μυώδης, καὶ φλεβώδης, καὶ ἀρτηριώδης, καὶ ἔστιν
ὀργανικὸν ὑπὸ τοῦ δημιουργοῦ κατασκευασθὲν, πρὸς
τὴν ἐνέργειαν τῆς ἀναπνοῆς· συνδέδεται δὲ ταῖς ὠμο –
πλάταις, καὶ ταῖς κατακλεῖσι, καὶ ταῖς πλευραῖς: κα –
τὰ δὲ τὸ πέρας αὐτοῦ, κάτωθεν τῶν μαστῶν ἐν τῇ μέσῃ

ἐξ ἀφροδαίχρυσ...:

συμπέφυκεν αὐτῷ διάφραγμα ἐν ᾧ καὶ τὸ διάφραγμα

περιζωννύει τὸ σῶμα, διαχωρίζων τὰ ὑπὸ τὴν
θώρακα, καὶ τὰ ὑπὲρ τὸν θώρακα σπλάγχνα· ἤγουν
τὰ ἀναπνευστικά, καὶ θρεπτικὰ μόρια: ἔστιν
οὖν ὁ θώραξ οἰκητήριον τῆς καρδίας: σύγκειται δὲ
αὐτῷ, ὄπισθεν μὲν ἡ ῥάχις, ἔμπροσθεν δὲ τὸ
στέρνον, ἑκατέρωθεν δὲ αἱ πλευραί: ἔσχατα δὲ κοιλίας
δύο, καθὼς εἴρηται ἀνωτέρω ἃς ἐποίησεν ἡ φύσις,
ὥσπερ τινὰς δεξαμενάς, εἰς ὑποδοχήν, καὶ φυ-
λακτικὴν πνεύματος· ἵνα ἐν καιρῷ περιστάσεως ἀρκέσῃ ἀνα-
ψυχὴν τῇ καρδίᾳ· πολλάκις γὰρ οἱ ἀναφωνισταὶ τῶν ᾠδῶν,
λέξεις ἐπιπλέξαι συνάπτειν θέλοντες, ἢ μέλη ἐκμηκύν-
σαι τιθέναι, οὐ δύνανται ἀναπνεῦσαι· ἢ μᾶλλον οὐ βού-
λονται, διὰ τὸ μὴ ἐκπέσαι τῆς τοῦ ῥυθμοῦ ἁρμονίας,
τούτοις οὖν ἡ καρδία, ἀπὸ τῶν ἐν τῷ θώρακι κοιλωμάτων
δέχεται πνεῦμα, καὶ ἀναψύχει αὐτήν, ἕως ἂν ἐκεῖνοι
ἀναπνεύσωσιν, καὶ τὴν ἀπὸ πνοῆς ἐπισπάσονται· τοι-
αύτη τις ἐστὶν ἡ τοῦ θώρακος οὐσία, τὰ ἐνεργήματα, καὶ
χρεία: ἀρκείσθω μὲν οὖν δὴ πρὸς τὸν τράχηλον, καὶ ἴδω-
μεν τὴν οὐσίαν αὐτοῦ ὁποία ἐστί, καὶ τὴν ἐνέργειαν:
ἔστι τοίνυν μετὰ τὰς φρένας, καὶ τὴν ῥάχιν, μετὰ τὰς πλευ-
ράς· καὶ τὸν ὑποζωκότα. καὶ ἔτι περὶ τοῦ πνεύμ(ονος) ∴

ὁ θώραξ οἰκητήριον τῆς καρδίας.

ὁρατὰ ἔμπροσθ(εν) καὶ ὄπισθ(εν) τοῦ θώρακος:
περὶ τῶν δύο κοιλιῶν τοῦ θώρακος ἐκ διαστ...

πόθεν δέχεται ἡ καρδία πνεῦμα, καὶ ἀναψύχεται.

μόνος, καὶ τῆς καρδίας διασωζόμεθα: +

περὶ τραχήλου, ἢ πόθεν.

Ὁ τράχηλος ἕνεκα λέγεται, καὶ τένων, καὶ αὐχήν.
τοῦ δὲ τραχήλου, τὸ μὲν ἔμπροσθεν αὐτοῦ μέ-
ρος κατακλεῖδες λέγονται. τὸ δὲ ὄπισθεν, τένων,
ἐξ οὗ καὶ τὸ ἐνάντιον: τράχηλος μὲν, ἀπὸ τῆς τρα-
χύτητος τῶν ἐκεῖ ὀστῶν, ὀπῶδες γὰρ τοῦτο τὸ μέρος.
ἢ παρὰ τὸ δι' αὐτοῦ ῥεῖν, ἤτοι τρέχειν τὴν τροφήν, οἷς,
τράχηλος:

περὶ κατακλεῖδων:

αἱ δὲ κατακλεῖδες, ὅτι περικλείουσι
τὰ πρὸς τὸ στέρνον ταῖς ὠμοπλάταις διαρθρούμεναι.
ἡ γὰρ κλεὶς διὰ μόνην τοῦ θώρακος ἐγκάρσιον διάστα-
σιν, διὸ καὶ μόνος ὁ ἄνθρωπος ἐκ πάντων τῶν ἄλλων ζώων
ἔχει κλεῖδας. ἔστι δὲ ὅλος ὁ τράχηλος ὀστώδης. σπον-
δύλους ἀπὸ τοῦ ἰνίου ἔχων, ὑπὸ μυῶν, καὶ νεύρων
συνδέσμων συμπεριεχομένους. κατὰ μὲν τὸν
τράχηλον, ἑπτά. κατὰ δὲ τὸν νῶτον, δυοκαίδεκα.

ὅρα περὶ σπονδύλων, ἢ ἐκ τίνων συνέχονται:

κατὰ δὲ τὴν ὀσφύν, πέντε. ὡς εἶναι πάντας κδ): ·
Ἐφιζημένοι δὲ εἰσὶ πρὸς ἀλλήλους, καὶ τεθειμέ-
νοι, συμβολὰς ἔχοντες καὶ ἀπὸ φύσεως ἀκαν-
θώδεις. ἡ δὲ συμβολὴ τούτων, γιγγλυσμὸς λέγεται

ἡ συμβολὴ τῶν σπονδύλων γιγγλυμὸς λέγεται: +

παρὰ τῶν ἰατρῶν: τὴν δὲ τούτων τῶν σπονδύλων
δύναμιν, καὶ χρείαν, καὶ ἐνέργειαν, ἀντιθεὶς ἐκ-

πρόσθεν διεξήλθομεν: λέγεται δὲ ὁ τράχηλος,
καὶ δειρή· κυρίως μὲν ἐπὶ τῶν τετραπόδων,
διὰ τὸ ἐκεῖθεν ἐκδέρεσθαι· καταχρηστικῶς δὲ
καὶ ἐπὶ τῶν ἀνθρώπων· διὸ τὸ πᾶν ὁ μὴ διὸ λουκάστινο λέ-
γεται ἐκ καταχρήσεως ἐν χαλινηκῆσιν: τὰ δὲ
ὑποκάτωθεν τῶν ὠμοπλατῶν, μετὰ τὰς φρένας λέ- περὶ μεταφρένου
γονται ὅτι ἐξόπισθεν τῶν φρενῶν κεῖται, ὅθεν καὶ
ὅμηρος, ἧπαρ ὑπὸ πραπίδων, ὅ ἐστι τῶν φρε-
νῶν: ἡ δὲ ῥάχις, ἐρηξιστός ἐστι, τὰ δεξιὰ τῶν περὶ ῥάχεως :
εὐωνύμων διαχωρίζουσα· ἡ διὰ τὴν τραχύ-
τητα τῶν σωματικῶν αὐτῆς κονδύλων, οἷον, τρά-
χις, καὶ ῥάχις: λέγεται καὶ ἄκανθα, ἐκ
τῶν κονδύλων ἀπὸ φύσεως ἀκανθώδης εἶναι· ὅθεν
ὅμηρος, ἰξύν αὐτὴν καλεῖ· ἢ οὐ κοῖον τε ξύσαι, ἢ
κνῆσαι εὐκόλως τῇ ἰδίᾳ χειρί· ἀλλ' ἑτέρων δεῖσθαι
εἰς τοῦτο· φησὶ γάρ, ὃς κατὰ ἰξύν στὶν μεσανῶτον πλή-
ξας· τὸν πρῶτον ἐρμηνεῦσαι τοῦτον ἄρτι ἥκαν: οἴω μοι, περὶ ἰξύος :
πρὸ αὐτοῦ ὑπὸ μετανταῦ φαρμάκων φορτίων ἀρηνῶν)·
λέγεται δὲ τὸ μετέωρος, ἐν ᾧ αἰωρεῖται νῶτος,
ἐπειδὴ τῶν ἄλλων νωτίζεται μᾶλλον· καὶ ὅς τοῦτο τοῖ-
δρομὸς καταρρεῖ, ὅμηρος, κατὰ δὲ νῶτος ῥέεν

ἱδρῶς. καὶ τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας,
καὶ νωτοφόρα ζῶα. λέγεται καὶ ψύη, παρὰ τὸ
ψαύω, ἢ ἡ ἐπιψαύουσα σὰρξ καὶ ἐπιπολῆς οὖσα
τοῖς ὀστέοις. ἔστω δὲ ἡ ψύη, καὶ ὁ θώραξ, καὶ πλευραὶ
συνήρθρωνται, καὶ συνδέδενται, καὶ οἷον συγκοινω-
νοῦσι ἀλλήλων ταῖς χρείαις, καὶ ἐνεργείαις, οὐδὲν
ἄτοπον περισκέψασθαι περὶ αὐτῶν τῶν πλευρῶν:
περὶ πλευρῶν: τῶν οὖν πλευρῶν, αἱ μέν εἰσι μακραί, αἱ δὲ κονδαί.
αἱ καὶ κονδοπλευρίαι λέγονται· ἢ νόθοις πλευρὰς λέ-
γουσι: ἃς εἰσὶ δὲ ε̄ αἱ νόθοι, συμφύονται δὲ τῷ τοῦ δια-
φράγματι, καὶ ἀλλήλαις διὰ χόνδρων τὸ πέρας αὐ-
τῶν ἔχουσαι: αἱ δὲ λοιπαὶ τῶν πλευρῶν, καὶ οἱ τῆς
ῥάχεως σπόνδυλοι, καὶ τὸ στέρνον τοῦ θώρακος ἐστὶ-
σιν ὀστᾶ, δώδεκα μὲν ἑκατέρωθεν αἱ πλευραί,
καθὰ δὲ καὶ οἱ σπόνδυλοι· διήρθρηνται δὲ ἑκά-
στη πρὸς ἕνα· τὰ δὲ τοῦ στέρνου συνήρθρωνται μὲν
ἀλλήλοις, ἔμπλειον δὲ τὸν ἀριθμὸν ἀσίν· ὅσαι καὶ
πρὸς αὐτὸ διαρθρούμεναι πλευραί. ὡς εἶναι
πόσαι πλευραί: τὰς πάσας πλευρὰς κδ, δώδεκα καθ' ἑκάτερον
μέρος· συναρθρούμεναι τὰς μὲν δώδεκα τοῖς
δώδεκα σπονδύλοις τοῦ νώτου· τὰς δὲ ζ̄, τῷ στέρνῳ·

αἱ δὲ ζ΄, ὑστερνοὶ καθὼς ἀφεῖνται. ταύτας δὲ πάσας,
ὑποζωννύει, καὶ ὑπαλείφει τις ὑμὴν κοινός, ὃς ἀ-
πὸ τῆς χρείας ὑπεζωκὼς ὀνομάζεται. ἐγένετο
δὲ οὗτος ὁ ὑμὴν παρὰ τῆς προνοίας, ἵνα μὴ τῷ πνεύ-
μονι ἀμέσως ὁμιλοῦσαι τῶν ὀστῶν αἱ οὐσίαι, σκληραὶ ὑμήν:
καὶ ἀντίτυποι οὖσαι, ἀνιῶσιν αὐτόν, καὶ ἐπιπλεῖον ἔτι
τῇ προσψαύσει. εἰσὶ δὲ καὶ κατὰ τὰς λοιπὰς πλευρὰς
μεσοπλεύριοι μύες, οὓς καὶ φρένας καλοῦσι, διὰ τὸ ὅτι οἱ μεσοπλεύριοι φρένες λέγονται:
φρενιτιᾶν τοὺς ἀνθρώπους ἐκείνων φλεγμαινόντων. οὐδὲν
γάρ ἐστι πλευρῖτις, εἰ μὴ φλεγμονὴ τοῦ τὰς πλευρὰς τί πλευρῖτις:
ὑπεζωκότος ὑμένος. κινεῖ δὲ τὸ διάφραγμα, περὶ τοῦ ὑπεζωκότος:
καὶ τὸν ὑπεζωκότα, ἕνα ὑπέλαβον εἶναι ὑμένα,
οὐκ ἔστι γάρ· ἄλλος ἐκεῖνος, καὶ ἄλλος οὗτος. ἐκεῖνος
γὰρ διαχωρίζει τὰ ἐν τῷ θώρακι, καὶ τὰ ὑπὸ τὸν
θώρακα σπλάγχνα· καὶ τὴν ἀναπνοὴν ἐνεργεῖ, κα-
θὼς ἔφθην εἰπών. οὗτος δὲ τὰς πλευρὰς ὑποζωννύει,
καὶ τὸν πνεύμονα διαφυλάττει τῆς τούτων βλάβης.
τὸν δὲ τοῦ διαφράγματος ὑμένα περίπλοον λέγουσιν, πῶς λέγεται ὁ ὑμὴν τοῦ διαφράγματος:
διὰ τὸ περιειλῆσθαι αὐτὸν τοῖς σπλάγχνοις. ἢ πέπλον,
διὰ τὸ ὑφαπλοῦσθαι· ἢ παρὰ τὸ αὐτοῦ περιπεπλέχθαι,
καὶ οἷον συνεσφίγχθαι. διὸ καὶ ὁ Καλλίμαχος οὕτως

ἔσφιγκ(ται), — ἥττον ἀνυφαίνεται ταῖς πλευραῖς μέχρι παν-
τός: εἰσὶ δὲ καὶ κατὰ σχῆμα αἱ πλευραὶ οὐχ ὅμοιαι,
ἀλλ' αἱ μὲν ἑπτὰ καμπαί, αἱ δ' ἀνακυκλοῦσαι πρὸ(ς)
τὸ στέρνον τὸ τέλος ἔχουσαι χονδρῶδες, οὐκ ὀρθῶς,
στρογγύλαι μὲν ἔνθεν, ἐκεῖθεν δὲ πλατεῖαι, ἵνα
ποδίουσαι ἀλλήλαις, καὶ ἐναπομένουσαι· ἀρηνὴ(ν)
δὲ πλευραί, ὅτι πλευρὰς ἀσὶ μυελῶν ἀμυχωτή· ἤ
οἷον πολύευραι, ὡς πλατεῖαι, καὶ χώραν πολλὴν
διακατέχουσαι, ἢ περιλαμβάνουσαι ὡς φυλάσσου-
σαι καὶ περιέχουσαι τὸν πνεύμονα καὶ τὴν καρδίαν
καὶ τὴν γαστέρα ἀπὸ τοῦ ὡραίου καὶ φυλάττειν, καὶ
κήπουρος, καὶ θυρωρὸς ἔξωθεν· ὡς καὶ Ἡσίοδος·
Γαῖα δέ, πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ οὐρανὸν ἀ-
στερόεντα, ἵνα μιν περὶ πάντα καλύπτοι· καὶ τὸ περι-
έχον δέ, καὶ αὐτὸ ἐκ τοῦ φυλάττειν κέκληται· ὡς καὶ κή-
πον ἔχων πολυδένδρεον· καὶ ἔχων ἀπὸ τοῦ φυλάττειν κῆπ(ον)·
καὶ τὸ ἔχων δὲ πτερόν, ὡς αὐτὸς μακρός· καὶ τοῦ τὸ ἀντὶ
περιέχων· οὕτως μὲν οὖν ἱεραὶ χεῖρες, τὸ στέρνον, καὶ αἱ
πλευραὶ συνδέδενται, καὶ συντήκονται, ἵνα πρὸς τὴν
κίνησιν, καὶ κάμψιν, καὶ ἀνάκλασιν, καὶ
σύντομον φράσιν, καὶ δρόμον, καὶ κάθισμα,

περὶ τοῦ τῶν πλευρῶν σχήματος:

περὶ τῶν πλευρῶν:

ἀλλήλαις αἱ ἁρμονίαι συνάρχονται· καὶ τὴν καθόρ-
μὴν κίνησιν, καὶ ἐπιτετεχνασμένην κατὰ τὸ λᾶν δύνα-
σθαι. Μόνος γὰρ ὁ ἄνθρωπος πρὸς δύο γωνίας ὀρθὰς κάμ-
πτεται τὰ σκέλη, κατὰ τὸ ἰσχίον, καὶ τὴν ἰγνύν, ὑπὸ τὸ γό-
νυ τὸ ὀπίσω τοῦ γόνατος· τὴν μὲν ἐπὶ τὰ ἔνδον τὴν δὲ
ἐπὶ τὰ ἔξω. Ἐπεὶ δ' οὖν ὁ θώραξ συμπεριέχει τὸν
πνεύμονα, καὶ τὴν καρδίαν, συνέχεσθαι καὶ ὡς
πάντα διάκεινται τοῦ θώρακος ἔσωθεν. Ὁ πνεύ-
μων ἐστὶν ὁ ἐμπεριέχων τὴν καρδίαν, καὶ οἷον ἐπι-
καλύπτων αὐτήν, ἔστι δὲ ἀρτηριώδης, καὶ πολύπο-
ρος ὑπὸ τῆς φύσεως κατεσκευασμένος πρὸς τὴν
ἐνέργειαν τῆς ἀναπνοῆς· λεπτός, καὶ κοῦφος,
καὶ μανός, πρὸς τὸ ἀσπάζειν καθαρὸν ἀέρα· καὶ
ῥιπίζειν, τὸ ἔμφυτον θερμὸν τὸ ἐν τῇ καρδίᾳ· ἐξάγειν
δὲ πάλιν τὸ λιγνυῶδες αὐτῆς περίττωμα· καὶ
γὰρ οἷον πλέγμα ἐστὶν ὁ πνεύμων· συγκείμενος ἐκ
τε βρόγχων, ἐκ τῆς τραχείας ἀρτηρίας· ἐκ τῆς λεί(ας)·
καὶ φλεβὸς παχείας· καὶ τῆς ἀφρώδους σαρκὸς αὐ-
τοῦ, ἥτις σὰρξ ἀναπληροῖ δίκην στοιβῆς, τὰ με-
ταξὺ χώρας τοῦ πλέγματος· τῶν δὲ δύο ἀρτηριῶν,
καὶ τῆς φλεβός, μέσον δὲ αὐτοῦ τὴν καρδίαν περιλαμ-

ὅτι ὁ θώραξ συμπεριέχει τὸν πνεύμονα, κ(αὶ) τὴν καρδ(ίαν):-

ὅτι ὁ πνεύμων ἀρτηριώδης, κ(αὶ) πολύπορ(ος), κ(αὶ) ῥιπίζει τὸ ἔμφυτον θερμὸν τῆς καρδίας:+

ἐκ πόσων σύγκειται ὁ πνεύμων:+

διὰ τί λέγεται πνεύμων.

φαίνων, παραψύχει διὰ τῆς ἀναπνοῆς, καὶ περια-
μπέχεται αὐτήν· διὰ γὰρ τοῦτο καὶ πνεύμων εἴρηται, ὅτι
καὶ δοχεῖον ὑπάρχει τοῦ πνεύματος, καὶ ὅτι τὴν καυστικὴν καρδίαν.
αὐτοῦ ψύχει ἔνδοθεν· καὶ τοὺς λιγνυώδεις περιττώ-
ματας ἔξωθεν ἀποκρίνει· τρέφεται δὲ καὶ αὐτὸς

πόθεν τρέφεται ὁ πνεύμων.

ὑπὸ αἵματος καθαροῦ. τοῦτο δὲ τὸ τρέφον αὐτὸν

cf χώρ(ας)

αἷμα, εἰς τὴν δεξιὰν κοιλίαν τῆς καρδίας προπέμ-
πεται, καὶ λεπτύνεται, σομφώδης (ἢ χαυνῆς) γὰρ καὶ λεπτῆς
ὢν οὐσίας, ὑπολεπτοῦ, καὶ καθαρωτέρου αἵματος
τρέφεται. οὐκ ἦν δυνατὸν δὲ οὕτως τὸ παχὺ αἷμα πέ-
ψαι, καὶ ἀνοικείαν τροφὴν ἀναλῶσαι, διὰ τὸ ἀκίνη-
τον αὐτοῦ, καὶ τῆς πρὸς ἀναπνοὴν ἀσχολίας, διὰ
τοῦτο ἐκεῖ καταλεπτυνόμενον, καὶ καθαιρόμενον πρῶτον]
τρέφει αὐτόν, μετὰ τῆς ἀερώδους οὐσίας, καὶ οἷον
καθαρότητος: πᾶσα δὲ ψύξις, καὶ δυσκρασία,

τί ἐλκοῖ τὸν πνεύμονα καὶ διὰ τί.

καὶ παχεῖα ἀναθυμίασις ἑλκοῖ τὸν πνεύμονα, διὰ
τὸ τῆς οὐσίας αὐτοῦ εὐπαθές: ἀλλὰ καὶ ὅπερ ἔχει
αὐτὸν θώραξ ὡς νευρώδης, ἑτοίμως πλήττεται ὑπὸ
πάσης ψύξεως: ἐπιπόλαιον μόριον ἐν αὐτῷ, περιέ-
χων ὡς ἅπαν τὴν ζωὴν τοῦ ἀνθρώπου, λέγω δὴ τὸ ἔμφυτον
θερμόν, οὗτινος ἐργαστήριον πέφυκεν ἡ καρδία,

τοῦτο ἄρα χρὴ αὐτὸν ἐκπιέζεσθαι, καὶ ἀναρρωννύσθαι κατὰ φύσιν, ὅπερ γίνεται, διὰ τῆς ἀσπνοῆς, καὶ ἐκ-πνοῆς: ταῦτα δὲ αἰκινήσας ὑπὸ ψυχικῶν δυνάμεων ἐνεργοῦνται τῇ διαστολῇ τοῦ θώρακος, καὶ τῇ συστολῇ, καθὼς ἔμπροσθεν εἴρηται· τούτου χάριν ὁ θώραξ ὡς περιεκτικὸς τῆς ἐν καρδίᾳ ζωτικῆς, πολλοῖς μυσὶν ἅπτεται καὶ ἔθη, καὶ συνεκτάθη· καὶ δῆλον ὅτι πολλῶν ὄντων μυῶν, πολλὰ καὶ τὰ νεῦρα αὐτῇ, τὰ χορηγοῦντα αὐτοῖς τὴν κινητικὴν δύναμιν: τὰ δὲ νεῦρα ὑπὸ φλεγματικοῦ καὶ παχέος, καὶ γλίσχρου τρεφόμενα χυμοῦ, ἑτοίμως ὑπὸ τῆς ψυχρότητος, καὶ πλήττεται, καὶ ἐμφράττεται, διὰ ταῦτα καὶ φλέβες, καὶ νεῦρα, καὶ ἀρτηρίαι, καὶ σπόνδυλοι, καὶ χόνδροι, καὶ πιμελὴ ἐν τῷ θώρακι, ἵνα καὶ θερμότητα τὴν δέουσαν χορηγοῦσιν, καὶ τὸ τῆς ψύξεως ἀπείργουσι βλάβας, καὶ τὸ παραλλήλων ὠφελείας καρποῦνται· ἡ μὲν γὰρ φλὲψ τροφὴν χορηγεῖ τῶν νεύρων, καὶ τῇ ἀρτηρίᾳ, καὶ τοῖς λοιποῖς μορίοις τοῦ θώρακος, μᾶλλον δὲ τοῦ παντὸς σώματος: ἡ δὲ ἀρτηρία μεταδίδωσι τῇ φλεβί, καὶ τοῖς ἄλλοις, θερμασίας φυσικοῖς, καὶ ζωτικοῦ πνεύματος: τὸ δὲ νεῦρον αἴσθησιν παρέχει αὐταῖς τε, καὶ τῷ παντὶ σώματι· πλὴν δὲ καὶ παρὰ τῆς καρδίας τὴν φυσικὴν θερμότητα ὁ θώραξ

διατί ὁ θώραξ μυσὶν ἅπτεται καὶ ἔθη καὶ συνεκτάθη.

πόθεν τρέφονται νεῦρα.

πόσα φύσει τῷ θώρακι, καὶ διατί

περὶ φλεβὸς καὶ ἀρτηρίας.

περὶ νεύρ

λαμβάνει, ὡς δεκτικὸς ὑπάρχων αὐτῆς: + περὶ τῆς καρδί(ας)

Ἔστι δὲ ἡ καρδία νευρώδης, καὶ μυώδης, καὶ φλέβας ἔχουσα καὶ ἀρτηρίας, καὶ δύο κοιλίας κατ' ἀμφότερα μέρη αὐτῆς. ἐν αἷς γεννᾶται τὸ ἔμφυτον θερμόν, καὶ τὸ ζωτικὸν πνεῦμα. ἐκπέφυκε δὲ ἀπ' αὐτῆς ἡ μεγάλη ἀρτηρία, καὶ πρώτη, ἣν ἀορτὴν καλοῦσιν, δι' ἧς χορηγεῖται ταῖς ἀνὰ πᾶσαν τοῦ σώματος ἀρτηρίαις, ὅ τε ζωτικὸς τόνος, καὶ ἡ ἔμφυτος θερμασία. ζωτικὸν δὲ τόνον τὸν σφυγμὸν λέγομεν. τὸν γὰρ σφυγμὸν τῇ καρδίᾳ ἡ τὰ σύμπαντα οἰκονομοῦσα δύο αἰτίας ἐχαρίσατο, ἵνα διὰ μὲν τῆς συστολῆς ἀποθλίβῃ καὶ ἐκπυρινίζῃ τὰ λιγνυώδη αὐτῆς περιττώματα. ἅπερ ἐν αὐτῷ γεννᾶται διὰ τὴν ἄμετρον αὐτοῦ θερμασίαν. διὰ δὲ τῆς διαστολῆς ἀποδέχεται καθαρὸν ἔξωθεν ἀέρα, θερμαινομένης γὰρ αὐτῆς παρὰ φύσιν, εὐθέως καὶ τὸ ζῶον ὅλον παρὰ φύσιν θερμαίνεται, καὶ ψυχομένης, ψύχεται:

περὶ τοῦ θυμοῦ

Ἐνταῦθα δὲ ἐν αὐτῇ, καὶ ἡ τοῦ θυμικοῦ δύναμις, τὸ πάθος τῆς ψυχῆς. πάθος δὲ τῆς ψυχῆς λέγομεν, ἐνοῖς, αὐτῆς μὲν ἡ πρώτως κίνησις. συμπάσχει δὲ αὐτῇ ἡ καρδία ὡς ὄργανον αὐτῆς. ἡ μὲν γὰρ ψυχὴ ἀθάνατος οὖσα, δηλονότι καὶ ἀπαθὴς ἐκ πάθους σωματικοῦ:

ποῖος λέγεται ζωτικὸς τόνος καὶ περὶ σφυγμοῦ

περὶ διαστολῆς

ὅρα περὶ ψυχῆς

τὸ δ' ἔσω ὑπάρχον, κινεῖται, καὶ ἡ ἔνδον φέρεται, ἢ
ἐκτός, τὸ ἀνοικεῖον τῇ καρδίᾳ ἀποξενωτικόν: καὶ ἐκτὸς
μέν, μετὰ σπουδονίας, ὡς ἐπὶ τῶν θυμουμένων· ἢ μετ-
ὰ χαυνότητος, ὡς ἐπὶ τῶν ἡδομένων· ἐντὸς δέ, ἢ
ἀθρόως, ὡς ἐπὶ τῶν φοβουμένων· ἢ κατὰ βραχύ, ὡς
ἐπὶ τῶν λυπουμένων· οὐκοῦν τῆς καρδίας καὶ ταῦτα,
καὶ τὸ θερμαῖνον ἅπαν τὸ σῶμα: Ἔστι δὲ τὸ σχῆμα περὶ τοῦ σχήματος τῆς καρδίας
αὐτῆς κωνοειδές· πυρωδεστέρα γὰρ οὖσα, πάντων
τῶν ἐν τῷ σώματι μορίων, καὶ τοῦ πυρὸς ἔλαχεν ἔχειν
τὸ σχῆμα· ὥσπερ γὰρ ἐκεῖνο ἀπὸ πλατυτέρας βάσεως ἀρ-
χόμενον τὴν ἄνω χώραν διώκει, ἀποστενούμενόν τε, καὶ
εἰς ὀξὺ ἀποκορυφούμενον: οὕτω καὶ ἡ καρδία κωνο-
ειδής ἐστι: κῶνος δέ ἐστι σχῆμα στερεόν, εἰς ὀξὺ λῆγον, δύ- τί κῶνος
ναται δὲ τὸ σχῆμα τοῦ κώνου νοεῖσθαι οὕτως· εἴ τις λάβοι κα-
τ' ἐπίνοιαν πλείονας κύκλους ἐπαλλήλους κειμένους, ὧν
ὁ μὲν ὑποκάτω πάντων μείζων ἐστί, ὁ δὲ μετ' ἐκεῖνον μικρό-
τερος, εἶτα ὁ τρίτος, καὶ ὁ τέταρτος, καὶ οὕτως ἐφε-
ξῆς ἡ μείωσις γίνεται, ἄχρις ἂν εἰς κύκλον σμικρότατον
τελευτήσῃ· οὕτω καὶ ἐπὶ τοῦ κώνου, λέγεται ὅπου τοῦ τοι- ὅρα περὶ βάσεως καὶ περὶ κορυφῆς τοῦ κώνου
ούτου σχήματος, τὸ μὲν εὐρύ, καὶ κυκλοτερὲς βάσις· τὸ δὲ
στενὸν κυκλοτερῶς καὶ αὐχ ἀνιὸν κορυφή· ἡ τοίνυν καρδί-

τὸ κωνοειδὲς ἔχουσα σχῆμα, τὴν βάσιν οὐκ ἔχει κάτω·
ἡ μὲν ἄλλη γὰρ ἡ κορυφὴ ἄνω βλέπουσα, πολλοῖς ἀτμοῖς
θερμοτέροις ἄνω περὶ τὸν ἐγκέφαλον πέμπουσαν, καὶ ἀμά-
βαν τὴν φυσικὴν κρᾶσιν αὐτοῦ ψυχροτέραν ἐξ ἀρχῆς
γεγονυῖαν, νῦν δὲ κεῖται ἡ μὲν βάσις αὐτῆς ὀπίσω, καὶ
ἄνω· ἡ δὲ κορυφή, πρόσω, καὶ κάτω: διαγροῦνται
τὴν τὴν αἰτίαν θερμαίνουσα τὸ περὶ τὸ στέρνον, λάσιον ἢ
αὐτὸ ἀποφαίνεται ταῖς θριξίν· διαφέρει δὲ τὸ λάσιον,
τοῦ δασέος, ὅτι τὸ μὲν δασὺ θεωρεῖται πλήθει, καὶ πυ-
κνότητι τριχῶν· τὸ δὲ λάσιον οὐ μόνον τούτοις, ἀλλὰ καὶ
μεγέθει, ὡς τὸ ἅπαν μὲν λάσιον, πάντως καὶ δασύ, ἅπαν
δὲ δασύ, οὐ πάντως καὶ λάσιον· τὸ δὲ ὄνομα ἐτυμο-
λογεῖται, παρὰ τὸ κραδαίνω, τὸ σείω, ἀεικίνητος γὰρ
ἐστὶν ἡ καρδία, ὅθεν καὶ μέλλοντος φόβου, ἢ καὶ ἀγω-
νίας σημαντικὴ ἐστὶ πηδῶσα· ὡς καὶ ὁ ποιητής· πολλὰ
δέ οἱ κραδίη προτιόσσετο ὄλεθρον· καὶ πάλιν· καὶ γὰρ
ἐμοὶ νόος ἐστὶν ἐναίσιμος, οὐδέ μοι αὐτῇ θυμὸς ἐνὶ
στήθεσσι σιδήρεος, ἀλλ᾽ ἐλεήμων: ἀλλὰ καὶ ἀνιαρὰν
ἀγωνίαν πάθη τοῦ φέρειν· ὡς τό, τέτλαθι δὴ κραδίη, ἢ
κύντερον ἄλλο ποτ᾽ ἔτλης: ἐξ αὐτῆς οὖν ὡς εἴρηται, τὸ
ζωτικὸν πνεῦμα, καὶ τὸ καθαρώτερον καὶ εἰλικρινὲς αἷμα

τί διαφέρει λάσιον, ἢ δασύ:

περὶ καρδ(ίας)

ὅτι τὸ ζωτικὸν πνεῦμα, καὶ τὸ καθαρώτερον αἷμα, ἐν τῇ καρδίᾳ:

καὶ ἡ θερμότης ἐπὶ τὸ σῶμα διὰ τῶν ἀρτηριῶν ἐκπέμπεται. ἡ γὰρ δὴ δημιουργικὴ φύσις πολλὴν τὴν τοῦ ἐν ἡμῖν θερμοῦ ποιησαμένη πρόνοιαν, δυσὶ μορίοις αὐτὸ ἐχαρίσατο, κατεξαίρετον καρδίᾳ, καὶ ἥπατι, καὶ μάλιστα καρδίᾳ. Εὐχυλότερον οὖν καὶ τὰ λοιπὰ μόρια μεταλαμβάνει· καὶ ἐπεὶ πολλαὶ ἦσαν τῆς ἐμφύτου αὐτῶν θερμασίας· ἡ καί που(?) πρὸς τὸ μέγεθος καὶ τὸ ἀξίωμα τῆς ἀνεργασίας(?) τὴν χορηγίαν ταύτην ἀπομεταλαμβάνοντες. Ἀναμέμικται δὲ ἐν ταῖς ἀρτηρίαις ἀπάσαις διὰ πολλῶν ὀπῶν ἀναπνεουσῶν τῷ αἵματι ἡ ἀερώδης οὐσία, καὶ κατὰ ταύτην τὴν καρδίαν οἰκᾶν(?) μὲν τὸ ἁλικερνεῦ(?), ἔξωθεν ἕλκεται διὰ τὸ αἱ θαλώδεν(?)· οὐ μόνον διὰ στόματος, καὶ ῥινός, ἀλλὰ καὶ διὰ τῶν ἀδήλων πόρων. Ἀδήλους δὲ πόρους τὴν διαπνοὴν καὶ ἀναπνοὴν παντὸς τοῦ σώματος λέγομεν, καθ' ἣν ἐκ τοῦ βάθους, καὶ τῆς συστολῆς τῶν ἀρτηριῶν ἀτμοὶ πλεῖστοι διὰ τῆς μανότητος τοῦ δέρματος διεξέρχονται. Μετὰ δὲ γοῦν τὸν θώρακα, καὶ τοῦ ξιφοειδοῦς λεγομένου χόνδρου, ὡς τὸ πέρας ἤτοι ἐπὶ τὰ ὑποχόνδρια μέρη, ἀπὸ τοῦ στέρνου μέχρι τῆς ἥβης, καὶ τῶν ταύτης μερῶν· ὅπερ καὶ κύστιν καλοῦμεν. Ὑπογάστριον καλεῖται τὸ πᾶν, ὅπερ ἐς τρία

ὅτι ἡ ἀερώδης οὐσία ἀναμέμικται ταῖς ἀρτηρίαις διὰ πολλῶν ὀπῶν

πόρους λέγομεν ἀδήλους πόρους

ποῖον καλεῖται ὑπογάστριον, καὶ ἡ τούτου διαίρεσις

διαιρεῖται, εἴς τε ἐπιγάστριον, καὶ ὑπογάστριον,

ὑπογάστριον·

καὶ ἦτρον· τὸ μὲν οὖν ὑπογάστριον, τὸν ὀμφαλὸν καλοῦ-
μεν· τὸ δὲ ἄνωθεν αὐτοῦ, τὸ μὲν μετέωρον, ἐπιγά-

ἐπιγάστρι(ον)·

στριον καλεῖται, ἐπειδὴ ἐπίκειται τῇ γαστρί· τὸ δὲ ἕτερον
ὑπογάστριον, ἐπειδὴ ὑποβέβληκεν αὐτῇ· τὸ δὲ τοῦ

ποῖον ἦτρον λέγεται· καὶ ποῖ(ον) πτερύγιον·

ὀμφαλοῦ κατωτέρω, ἦτρον προσαγορευόμενον·
τὸ δὲ ὑποκάτω τῶν διδύμων πτερύγιον· ὅσα μὲν οὖν

ὅρα τὰ περιέχοντα τὸν στόμαχον·

ὑπὸ τὸ ἐπιγάστριον διηρέθη, τὸν στόμαχον περιέχουσι, καὶ
γαστέρα τὴν ἄνω, δεξιώτερον τὸ ἧπαρ· καὶ τὸν σπλῆνα ἐν

περὶ σπλάγχνων·

τοῖς ἀριστεροῖς, ἅπερ ἀμφότερα σπλάγχνα καλεῖται,
διὰ τὸ διασπᾶν τὴν τροφήν· τὰ αὐτὰ δὲ καὶ ὀργανικά·
ἔστι δὲ ὁ στόμαχος νευρώδης, ἐργαλεῖον ὀρέξεως τρο-
φῆς, καὶ καταπόσεως, καὶ πρὸς ὑγρὰς, καὶ ξηρὰς

περὶ στομάχου·

τροφὰς ἐπιτήδειος· λέγεται δὲ στόμαχος, ὅτι τὰ

διατί λέγεται στόμαχος·

ἀπὸ τοῦ στόματος εἰς αὐτὸν χεῖται, ἄν τε ὑγρὰ, ἄν τε
ξηρά· ἢ οἷον σιτόμαχος, ὁ τοῖς σιτίοις μαχόμενος,
θλίβουσι γὰρ αὐτόν· ἢ ὁ θλίβων ἔμπαλιν ταῦτα, ἵνα
καταβιβασθῇ· λέγεται καὶ στόμαχος, ὅτι μηχανὴ
τῶν σιτίων· ἄλλοι δὲ ἐπὶ τοῦ στόματος, στόμαχον λέγουσι,
διὰ τὴν μάστακα καὶ ἐξ αὐτοῦ δέχεσθαι, τοῦτ' ἐστὶ τὴν τρο-
φήν· ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι μά-

σπάνιος ἐπὶ καὶ λάψεσιν· ἄρχεται δὲ ἐπὶ τοῦ στόματος· ἄλλο δ' ὕστερον ἐπὶ μάστακα καὶ χερσὶ πίνακες· οὗ τοῦ δὲ ἐστὶν ἐργαλεῖον ὁρμέξεως, ὅτι δὲ χεῖται τὴν τροφὴν ἐν τοῦ στόματος, ἔχει δὲ ἐν τοῖς πρὸς τὸ πέρας αὐτοῦ τοῦ ξιφοειδοῦς χόνδρου εἰς ὅ τὰ καταπινόμενα τίθεται φερόμενα:+ τῷ μὲν ... ἡ γαστὴρ ἀπὸ τοῦ στομάχου τὴν τροφήν:+

ὅτι δὲ χεῖ(ται) ὁ στόμαχος τὴν τροφήν:

Ἐπεὶ οὖν μικρὸν χρόνον, ἔχει ἐξ αὐτῶν ἡ γαστὴρ ἤδη, τὴν πέψιν ἔχουσα, μεταπέμπει τῷ ἥπατι, καὶ τοῖς ἐντέροις· τῷ ἥπατι μὲν, τὸν χυλόν, τοῖς ἐντέροις δέ, τὰ σκύβαλα· Ἐπεὶ οὖν ἀποβάλλεται καθὼς ἀποκρίνει τὰ περιττώματα καθὼς ἄρτι ἀνωτέρω· ἐκτρέφεται δὲ καὶ πάντα τὰ μόρια τῇ καταλλήλῳ τροφῇ, διαφορεῖται ἀπὸ ἅπαν τὸ σῶμα ὑπὸ τῆς τοῦ περιέχοντος φίας· ταύτην γὰρ εἴληχε τὴν ἀνάγκην, πάντα τὰ ἐν γενέσει καὶ φθορᾷ τυγχάνοντα· ὁρᾶται γὰρ τῷ πολλῷ χρόνῳ, καὶ λίθος μάλων πωρότερον ἦν γεγονώς, διαφορηθῆ οὖν ἅπαν τὸ σῶμα, καὶ μάλιστα τὸ δέρμα τοῦ σώματος· ὡς πῶς περιξαίνει πλησιάσαν ὁμιλοῦν· Εἶτα τροφῆς ἀπορήσαν, τρέφεται κατὰ τῶν ὑποκειμένων αὐτῷ μυῶν, καὶ εἴληχε τὸ ἀφορμαθεν αὔριο

ὅτι τῷ ἥπατι τὸν χυλόν· τοῖς δὲ ἐντέροις τὰ σκύβαλα:+

πῶς γίνεται ἡ διάδοσις μάχει ἡ τάχος:

τὸν λόγον τροφῆς, καὶ ἀνάγκη πάλιν τρέπεσθαι κα-
τὰ τῶν πλησίων, καὶ οὕτω κατὰ διαδοχὴν γίνεσθαι
ἡ διάδοσις αὐτῆς μέχρι τοῦ ἥπατος: Ἐπεὶ τὰ ἀ-
ποκενώσαντα τροφῆς τὸ ἧπαρ, ἕλκει τὴν ἐν ταῖς με-
σαραϊκαῖς φλεψὶν περιεχομένην. αἱ δὲ ἕλκου-
σιν ἀπὸ τῆς γαστρός, ἡ δὲ γαστὴρ, ἀπὸ τοῦ στομάχου.
Καὶ ἐπειδήπερ αὐτὴ ὁρμὴ μέχρι γαστρός, καὶ στομά-
χου κατέληξεν· ἀγγέλλεσθαι τῷ ζώῳ διὰ τῶν νεύρων
ἡ ἔνδεια· διὰ τοῦτο καὶ πλείονα νεῦρα αἰσθητικὰ
τῇ γαστρὶ, καὶ τῷ στομάχῳ ἐδόθη, ἵνα διὰ τοῦ πά-
θους αἰσθάνονται τὴν ἔνδειαν, καὶ αἰσθανόμενα ἐπε-
γείρᾳ τὸ ζῶον εἰς προσφορὰν σιτίου, καὶ πόματος
ὅπως ἀντεισαχθῇ ἕτερα πάλιν τῶν διαφορη-
θέντων: οὕτως μὲν οὖν ἡ ὄρεξις γίνεσθαι, ἣν καὶ
πεῖναν ὀνόμασαν: Ἐκ τοῦ στομάχου ἡ γαστὴρ, Ἐκ
τῆς γαστρὸς, αἱ μεσαραϊκαὶ φλέβες, Ἐκ τούτων,
τὸ ἧπαρ· Ἐκ τοῦ ἥπατος πᾶσαι αἱ φλέβες· Ἐκ τοῦ
ἡ κοίλη φλέψ· Ἐκ ταύτης, ὑμένες, καὶ αἱ πα-
κάμεναι σάρκες ἁπαλαί· Ἐκ τούτων τὸ δέρμα τρέ-
φεται· καὶ οὕτω τραφέντα, ἵσταται τῆς ὁρμῆς
μέχρις ἂν πάλιν αἰσθῇ: διαφορηθέντων δὲ πάλιν

ὅρα περὶ ἥπατος πῶς ἕλκει τὴν τροφήν· ἡ γαστὴρ αἱ φλέβες· ἡ γαστὴρ ὅτι καὶ ἀπορεῖ τροφῆς:

ἡ τροφήν

ὄρεξις:

ὅρα πῶς τρέφεται τὸ σῶμα:

διαφορητική

τὸ ἀνάπαλιν, καὶ γίνεται, ἐκ τοῦ δέρματος οἱ μῦες ὅρα τὸ ἀνάπαλιν:+
ἐνδείας αἴσθησιν δέχονται· ἐκεῖνοι γὰρ τὴν αὐτῶν τρο- πῶς γίνεται ἡ ὄρεξις::
φὴν ἀνιμῶσιν· οἱ δὲ μύες τῶν σαρκῶν, καὶ τῶν φλε-
βῶν τὴν ὑδατώδη ἀφαιροῦσιν· αἱ φλέβες, καὶ
αἱ ἀρτηρίαι τοῦ ἥπατος ἕλκουσι· τὸ ἧπαρ τὴν γαστέρα
ἐπεὶ ἀσθενεῖ ἤδη δι' ἔνδειαν· ἡ γαστὴρ τὸν στόμαχον· ὁ
στόμαχος μετὰ τῆς γαστρός, τὸ ζῶον ὑπὲρ τροφῆς ἐπα-
νάστησε· τὸ ζῶον διὰ τὴν βίαν τῆς φύσεως τροφὰς
ἐπ' αὐτῷ ἐπενόησεν· καὶ οὕτω μὲν κατὰ τὸ πλεῖστον τοῦ
χρόνου ἡ ὄρεξις γίνεται· ἐν δὲ τῷ χειμῶνι διὰ τὸ δεῖν
πρὸς τὸ βάθος τοῦ σώματος, τὸ ὅλον θερμὸν διὰ τὴν τοῦ
περιέχοντος ψῦξιν, καὶ τὴν πύκνωσιν, καὶ ἀδιαπνευ-
στίαν τοῦ σώματος τὸ ἔμφυτον θερμὸν ὑπερθερμαινόμενον
καὶ πλεονάζον πᾶσαν τὴν ὑγρότητα καταδαπανᾷ,
πλείω τὴν ὄρεξιν ἀπεργάζεται· τοῦτο καὶ ὁ Ἱπποκράτης Ἱπποκράτης::
εἰδὼς ἦν φησιν, αἱ κοιλίαι χειμῶνος, καὶ ἦρος θερμόταται
ςς φύσει· ἐν ταύταις οὖν ταῖς ὥραις, καὶ τὰ προσάρμα-
τα πλείω δοτέον, προσάρματα λέγων τὰ σιτία, ὡς προσ-
φερόμενα τῷ σώματι· ἐξ οὗ καὶ ἄρτος παρὰ τὸ αἴ- πόθεν ἄρτος:
ρειν, ὅ ἐστι προσφέρειν καθεκάστην· ἡ μὲν γὰρ οὗτος
τροφὴ καὶ προσθήκη τοῦ σώματος· ἀλλ' εἰ μὴ τοσοῦτον

ἀπολισθήματα, ὅσον καὶ διὰ τὰ ἀφροδίσια, σπουδαῖα καὶ τὰ
τὰ μέτρια σώματα ἀναλλοίωτα μένειν, καὶ μὴ γηρᾶν,
μὴ δὲ ὑπὸ τοῦ γήρως τι πάσχειν· ἐπειδὴ δὲ πλεῖον
μέν τι διὰ ἀφροδισίοις, καὶ τι τῶν περιττωμάτων ἀποκα-
θαρσεῖς· ὀλίγον δέ τι ἐκ τῶν βρωμάτων τροφὴ τῷ σώματι.
(τροφὴ γὰρ τὸ τρέφον, καθ' ὑπόκρασιν) διὰ τοῦτο
κατὰ βραχὺ ζητεῖν τι μὲν ὑγρότητος καταδαπα-
[διὰ τί γηρᾷ τὰ ζῷα:] νωμένης, καὶ οἷον ξηραινομένου τοῦ σώματος γηρᾷ
τὰ ζῷα, καὶ διαφθείρεται, καὶ πρὸς ἀδυναμίαν
καὶ ἀσθένειαν φέρεται· οὐ μόνον ὁ ἄνθρωπος, ἀλλὰ καὶ
τὰ λοιπὰ τῶν ζώων· ταῦτα μὲν τὰ τοῦ σπέρματος χρεία τε,
καὶ ἐνέργεια, καὶ ὀνομασία.+ [περὶ ἥπατος:]

Τὸ δὲ ἧπαρ, οὐσία ἐστὶν ἐρυθρά, σαρκώδης, κύστιν
[περὶ ἥπατος ὅρος:] ἔχουσα τεταμένην ἐν τοῖς δεξιοῖς μέρεσιν· ἐν ᾧ
γεννᾶται τὸ αἷμα ἐξ οὗ ἐκ τῆς φύσεως φλεβὸς διὰ τοῦ
χορηγεῖται τὸ αἷμα πρὸς ἅπασαν τροφὴν τοῦ παντὸς
σώματος· καὶ οὗτος μὲν ὁ ὅρος τοῦ ἥπατος· ἡ δὲ κατα-
σκευὴ αὐτοῦ καὶ ἐνέργεια, ἀρκεῖται μὲν καὶ πρό-
σθεν, ἀρκέσει δὲ καὶ νῦν ὀλίγα περὶ αὐτοῦ· ὄργα-
νον γὰρ ὂν τοῦ ἐπιθυμητικοῦ, διαφόρως ταύτην ποιεῖ,
τὴν μὲν, ἐν ταῖς τροφαῖς, τὴν δὲ ἐν ταῖς συνουσίαις·

¶ καὶ διὰ μὲν τῆς μιᾶς, ἀντισπᾶται γὰρ τὸ χλιαρὸν τοῦ σώματος.
¶ διὰ δὲ τῆς ἄλλης, ἀποκρίνεται τὸ πλεονάζον· ¶ ἔτι
γοῦν φύσει θερμὸν τὸ ἧπαρ τὸ σπλάγχνον, διὰ τὸ αἵματος
εἶναι γεννητικόν. οὐ μόνον δὲ ἀλλὰ καὶ τῶν ἄλλων
χυμῶν· ¶ τὰ γὰρ σιτία πάντα κἂν διαφόρων φύσεως
ὄντα τύχῃ, ἐς τὴν γαστέρα διὰ τοῦ στομάχου φερό-
μενα πέπτεται, καὶ ἀλλοιοῦται· χυλὸς γινόμενα κο-
μιζόμενος· ¶ τὸ δὲ ἧπαρ τοῦτον ἐκ τῶν μεσαραίων φλε-
βῶν δεξάμενον, πυροῖ δὲ τέλειον ποιεῖ, καὶ ἐς αἵ-
ματος φύσιν διὰ τῆς ψύξεως μεταβάλλει, καὶ τῷ παντὶ
σώματι διὰ τῶν φλεβῶν ἐπιπέμπει πρὸς ἀρκοῦ-
σαν διοίκησιν· ¶ ὅθεν διὰ μὲν τοῦ τρυγώδους τοῦ αἵ-
ματος, ὁ μελαγχολικὸς γεννᾶται χυμός· ¶ ἐκ δὲ
τοῦ ὀρρώδους αὐτοῦ, ἡ ξανθὴ χολή· ¶ ἐκ δὲ τοῦ ἀφρώ-
δους, καὶ πομφολυγώδους τὸ φλέγμα· ¶ καὶ ὁ μὲν
μελαγχολικὸς χυμός, καὶ τὸ φλέγμα, ὡς βαρύ-
τερα τῶν ἄλλων, ὑφιζάνουσι κάτω· ¶ ἡ δὲ ξανθὴ
χολή, ὡς λεπτομερής, τὴν ἀνωτέραν χώραν με-
ταδιώκει· ¶ τὴν μέσην δὲ ἀπεκληρώσατο τάξιν, τὸ αἷμα
κατείληφε· ¶ καὶ ἐν μὲν τοῖς σιμοῖς αὐτοῦ τὸ ἧπαρ
μύας ἔχει ὑποκειμένους αὐτῷ συνεργοὺς εἰς τὴν

ὅτι τὸ ἧπαρ φύσει θερμόν, ἢ γεννητικὸν αἵματος:·

ὅτι τὰ σιτία ἐν τῇ γαστρὶ πέπτεται, ἢ γίνεται χυλός:·

πῶς μεταβάλλεται ὁ χυλὸς εἰς αἷμα:·

ὅρα γέννησιν χυμῶν:·

πόθεν γεννᾶται ὁ μελαγχολικὸς χυμός· ἢ ἡ ξανθὴ χολή· ἢ τὸ φλέγμα:·

τοῦ αἵματος ἕψησιν, καὶ τῶν ἄλλων χυμῶν τὴν διά-
κρισιν· ἐν δὲ τοῖς κυρτοῖς αὐτοῦ ἡ κοίλη φλὲψ διχὰ
μεριζομένη· τὸ μὲν ἓν αὐτῆς μέρος πέμπεται ἐπὶ
τὰ κάτω μόρια, ἐπὶ βουβῶνας, καὶ σκέλη. τὸ δ'
ἕτερον, περὶ καρδίαν, καὶ θώρακα, καὶ κεφαλήν·
καὶ διὰ τῆς κλάδους περιερχομένη περιλαμβά-
νει αὐτὴν ἔσωθέν τε, καὶ ἔξωθεν· ἔτι τε ἀνιοῦ-
σα αὖθις συμφύεται ἐπὶ ταῖς κεφαλίδας, καὶ ἀ-
ποσχίζεται, ποιοῦσα τὰς σφαγίδας λεγομένας φλέ-
βας, δι' ὧν τὰ πλεῖστα μόρια τοῦ σώματος ὀργανικά
τε, καὶ ἁπλᾶ τε ἀρδεύεται· λέγεται δὲ ἧπαρ, παρὰ
τὸ ἐπαίρεσθαι, καὶ κυρτοῦσθαι· ἢ παρὰ τὸ ἐπαρδεύειν ὅλον
τὸ σῶμα αἵματι· ἢ παρὰ τὸ ἥδω τὸ εὐφραίνομαι,
ἧδαρ, καὶ ἧπαρ. ἐν γὰρ τούτῳ καὶ τὰ τῆς ἡδονῆς, καὶ
τὰ τῆς ἐπιθυμίας, ὅτι καὶ τινὸς διὰ τοῦ ἥπατος
κολάζεται: +

περὶ τοῦ σπληνός: +

Ἀντικρὺ δὲ τοῦ ἥπατος, ὁ σπλὴν κεῖται, φλεβώδης,
καὶ ἀρτηριώδης ὤν, καὶ ἀνισόπλατος, λεπτὰ ἀγγεῖα
ἔχων, καὶ πολλά, μεταξὺ τῶν ἀγγείων θρομβώδης,
διὰ τοῦτο ἀραιός ἐστι, καὶ σομφός· ἔστι δὲ καὶ ψυχρός, καὶ
ὀξώδης. ἔχων τὴν ὀξότητα ταύτην παρὰ τῆς φύσεως

[Margin notes:]
ὅρα ποῦ πέμπει ἡ κοίλη φλέψ:
πόθεν τὰ πλεῖστα μόρια ἐπαρδεύεται:
ὅρα περὶ τοῦ σπληνός: +
διατί ἀραιός:
διατί ὀξώδης:



πρὸς τὸ διεγείρειν τὸν στόμαχον πρὸς ὄρεξιν τροφῆς· ἀλλὰ καὶ τὴν ἔκκρισιν τοῦ περιττεύοντος χυμοῦ τοῦ μέλανος πρὸς τὴν γαστέρα χέων, στύφει ταύτην, καὶ τονοῖ, καὶ πρὸς τὰς πέψεις διεγείρει· πρὸς τούτοις δέ, καὶ καθαίρει τὸ ἧπαρ, ἕλκων τὸ τρυγῶδες, καὶ θολερόν, τῶν ἐκ τοῦ ἥπατος ἀποκρινομένων ὑγρῶν, εἰς οἰκείαν τροφήν· διὸ καὶ σπλὴν εἴρηται, παρὰ τὸ ἐπισπᾶσθαι εἰς ἑαυτὸν τὰ φαυλισθέντα τῶν ὑγρῶν:— περὶ σπληνός:

περὶ τῆς κοιλίας:

Ἡ δὲ κοιλία νευρώδης, καὶ πιμελώδης ὑποδοχεῖον τροφῆς ὑγρᾶς, καὶ ξηρᾶς πρὸς τὸ πέπτεσθαι τὴν τροφὴν ἐν αὐτῇ, κατασκευασθεῖσα, ἀπὸ τῆς κοιλότητος τὸ ὄνομα λαβοῦσα· ἢ ἀπὸ τοῦ λεαίνειν, καὶ χυλοῦν τὴν τροφήν: λέγεται καὶ γαστήρ, ὅτι περιεκτική· καὶ ὅτι γαστρίζεται καὶ ἐπιζητοῦσα τροφήν· ἢ ὅτι γάστρωται, καὶ πεπλήρωται κορεσθεῖσα· ἡ ὑπερά-
τω τῷ λαιμῷ ἄνω, ἢ πάντα τὰ ἐνθριον μὴ πληρουμένη λαμβάνουσα: ἡ δὲ οἷον διαβάλλοντος· τὸ μὲν ἄνω μέρος ἔχουσα στενόν, καὶ ὀρθόν· καὶ κόλπον μικρόν, διὸ καὶ ῥᾳδίως εἰς τὴν ὄρεξιν ὁρμᾷ: λέγεται δὲ παρὰ τῶν ἰατρῶν ἄνω κοιλία: ἡ δὲ κάτω, πλατεῖα ἐστί, καὶ

περὶ τῆς κοιλ(ίας):

πόθεν κοιλ(ία):

διατί ὀρεκτικὴ ἡ κοιλία ἐστὶ τὸ ἄνω μέρος:

ὅτι διὸ κοιλ(ία):

μεγαλόκοιλος, ὡς στωμαγωμένης ἐκ τῆς τροφῆς:

πολλῶν δὲ ἀνδρῶν αἰσθητικῶν ἡ γαστὴρ μετέχει, καὶ μάλιστα κατὰ τὸ στόμιον αὐτῆς· ὥστε ἑτοιμοτάτης ἐνδείας τοῦ παντὸς αἰσθάνεσθαι, καθὼς κακοπωὴν τε δηχθῇ· ὡς καὶ λοιμῷ διαφθαρῆναι λεληθότως τὸ ζῶον:+

περὶ τροφῆς:+

Καὶ γὰρ ἡ τροφὴ κατὰ δύο αἰτίας ἐν τῷ ἡμετέρῳ σώματι παραλαμβάνεται· διά τε ἀναπλήρωσιν τοῦ διαφορημένου, καὶ πρὸς αὔξησιν τοῦ ἐμφύτου θερμοῦ·

διὰ τί παραλαμβάνεται ἡ τροφή:+

τὸ γὰρ ὀρέγεσθαι ἔργον ἐστὶ τοῦ στομάχου, καὶ τῆς γαστρὸς φυσικὸν μετὰ ψυχικῆς συναισθήσεως γινόμενον:

τὴν γοῦν ἐπισερχομένην ἔξωθεν τροφὴν, ἄμφω, ἥ τε γαστὴρ, καὶ τὸ ἧπαρ κοινοεργοῦσιν· ἡ μὲν γὰρ χυλοποιεῖ, τὸ δὲ ἐξαιματοῖ:+

πῶς καὶ γίνονται οἱ δ΄ χυμοί:

Οἱ δὲ τέσσαρες χυμοὶ ἐν τῷ ἥπατι γεννῶνται, κατὰ τὴν εἰρημένην σύνεψιν, καὶ ὡς κατὰ φύσιν αὐτῶν ὄντων, ἠξίωσεν αὐτὰ ἡ πρόνοια ἐκδοχεῖα·

πῶς γεννῶνται οἱ τέσσαρες χυμοί:

καὶ τῆς μὲν ξανθῆς χολῆς, ἡ χολοδόχος κύστις δοχεῖον ἐστὶν, ἥτις ἐν τοῖς σιμοῖς τοῦ ἥπατος κεῖται· τοῦ δὲ μελαγχολικοῦ χυμοῦ, ὁ σπλήν· τοῦ δὲ ὀρρώδους τοῦ αἵματος, νεφροὶ, καὶ οὐρητῆρες, καὶ οὐροδόχος κύστις· τοῦ δὲ αἵματος,

ὅρα τὰ δοχεῖα τῶν χυμῶν

γ

φλέβες, καὶ ἀρτηρίαι. Τῆς δὲ μελαίνης χολῆς οὐδὲ
ἓν δοχεῖον· οὐδὲ γὰρ οἶδεν αὐτὴν ἡ φύσις, ὡς παρὰ
φύσιν οὖσαν, ἀλλὰ καὶ ὅταν γεννηθῇ πᾶσαν μηχα-
νᾶται κίνησιν, ὥστε ἐκδιῶξαι αὐτήν, καὶ ἀπορρί-
ψασθαι πρὸς τὴν κάτω ἔξοδον διὰ τὸ δριμύ, καὶ ἀ-
ναιρετικὸν τῆς ποιότητος. Τὸ δὲ φλέγμα ἐπὶ πάντων τῶν
ἐπιτηδείων χωρίων καταπέπτεται· ἀλλὰ καὶ ἐν τῇ κεφα-
λῇ διαχεῖται. Τῷ γὰρ δ' ἴδια κατὰ τὸν στόμαχον, καὶ
τὸν θώρακα ἀνάγουσιν. Ἐκκρίνεται δέ, τὰ μὲν παχέα,
καὶ φλεγματωδέστερα κάτω: τὰ δὲ λεπτά, καὶ
ἀποιώτερα καὶ χυμώδη διὰ τοῦ στόματος ἐκπτύεται.
διὰ τῆς ἀναχρέμψεως, καὶ ἀποχρέμψεως: Ἄλλο
δὲ ἐστὶν ἀνάχρεμψις, ἄλλο ἀπόχρεμψις: Ἀνάχρεμ-
ψις μέν ἐστιν, ἡ ἡνίκα διὰ τῶν φωνῶν ἔλθῃ τὸ ἐμούμενον
ἢ ἀποπτυόμενον ἀπὸ τοῦ στομάχου, καὶ τῆς γαστρός:
Ἀπόχρεμψις δέ, ἐπὶ τῇ καθάρσει τοῦ λάρυγγος, καὶ
τῆς τραχείας ἀρτηρίας. Πῶς δὲ ὑπόκειται αὐτῇ τὸ
ἧπαρ, καὶ ζέσιν δίδωσι· καὶ πῶς ὁ κοινὸς ἐργνόμε-
ταυτοῦ, καὶ δὴ λέλεκται: Πῶς δὲ τοῖς ἐντέροις αὐτὴ
μεταδίδωσιν αὐτόθεν ἀρκτέον: Δεῖ γὰρ εἰδέναι, ὅτι
τὸ στόμα δεξάμενον τὴν τροφήν, μασᾶται αὐτήν,

ὅτι τῆς μελαίνης χολῆς οὐδὲν δοχεῖον:

ποῖα ἐκπτύονται διὰ τοῦ στόματος:-

ὅτι ἄλλο ἀνάχρεμψις, καὶ ἄλλο ἀπόχρεμψις: +

καὶ κατατετμημένα, καὶ καταλιαίνει· διαφθέρεις
ὀδοῦσι χρησάμενον, καὶ παραπέμπει τῷ οἰσοφά-
ποῦ κεῖται ὁ οἰσοφάγος:
γῳ· ὁ δὲ οἰσοφάγος μέσον κεῖται τοῦ λάρυγγος, καὶ
τῶν σπονδύλων· διαδέχεται δὲ αὐτὸν, αὐτὸ τὸ κοῖ-
τος τῆς γαστρός, ἐν ᾧ τὰ σιτία περιεχόμενα, πέττε-
ται, καὶ χυλοποιεῖται, καὶ τὰ διάφορα εἰς μίαν
περὶ ἐντέρων:
μεταβάλλεται ἰδέαν· μετὰ δὲ τὴν γαστέρα τὰ ἔντερα
διαδέχεται, μέχρι τῆς ἕδρας, καὶ τῆς ἕδρας, κυκλι-
ὁ μῦς τοῦ σφιγκτῆρος:
δὴ κάμινα· ἐν ᾗ ὁ μῦς τοῦ σφιγκτῆρος τῆς ἐξόδου τὴν
αἴσθησιν δίδωσι· εἰσὶ δὲ ναρώδη, καὶ φλεβώδεας ἔχονται·
καὶ τὰ μὲν τῶν ἐντέρων συμφέρουσι πρὸς τὴν πέψιν τῆς
τροφῆς· τὰ δὲ πρὸς τὴν ὑποδοχὴν καὶ ἀπόκρισιν τοῦ
περιττώματος γενομένου· ιε πηχέων ὄντα τῷ ἰδίῳ
ἐντέρων τάξεις:
πήχει μετρούμενον ἕκαστον· εἰσὶ δὲ ·ϛ· τάξεις
τῶν ἐντέρων, ὑπὸ πιμελωδῶν χιτώνων περισκε-
πόμεναι, καὶ περικρατούμεναι, καὶ οὕτως ἕκαστ[ον]
προσαγορευόμενον, στόμαχος· κοιλία· πυλωρός·
ἢ καὶ δωδεκαδάκτυλος λεγομένη ἐπίφυσις, ἐκ τοῦ
κατὰ μῆκος μέτρου τὴν προσηγορίαν ταύτην ἀ-
ἐντέρων ὀνόματα:
πολαβοῦσα· λεπτόν· τυφλόν· κόλον· νῆστις· ἀρ-
χόν· καὶ ἀπευθυσμένον· ἐκ τούτων, τὰ μὲν διακρι-

τικὰ εἰσὶ τῆς τροφῆς· τὰ δὲ ὑποδεκτικά· τὰ δὲ παρα-
δεκτικά· τὰ δὲ ἀποκριτικά· καὶ διακριτικὰ μὲν ἐντέρα διακριτικά·
εἰσί, πυλωρός, νῆστις, καὶ τὸ λεπτόν· ἐνταῦθα γὰρ χω-
ρίζεται τὰ χρήσιμα τῶν τροφῶν, ἀπὸ τῶν ἀχρήστων·
καὶ ὁ μὲν χρηστὸς χυλός, ἀναδίδοται τῷ ἥπατι πρὸς
ἕψησιν, καὶ τὴν τῶν μορίων διατροφήν· τὸ δὲ ἀχρεῖ-
ον περίττωμα, ἤγουν τὸ ἀποκάθαρμα τῆς τροφῆς,
ἡ κόπρος ἔξω ἐκβάλλεται· λέγεται δὲ κόπρος, παρὰ τὸ περὶ τοῦ κόπρου
χωρεῖσθαι διὰ τοῦ πόρου· χόπορος τις οὖσα, ἢ οἷον κόπος·
φασὶ γὰρ τὸ περιττὸν ἐγκαόμενον· καὶ κοπιᾷ· ὑποδε-
κτικὰ δὲ τῶν ἐντέρων εἰσίν, ὡς τὸ τυφλόν· παραδε- ἔντερ᾽ ὑποδεκτικά· ἔντερα παραδεκτικά·
κτικὰ δέ, ὡς τὸ κόλον, περὶ τὴν κοιλότητα λέγεται καὶ
κόλος· ἀποκριτικὸν δέ, ὡς τὸ ἀπευθυσμένον· γί- περὶ τοῦ κόλου·
νεται δὲ τούτων, ἡ κατὰ θέσιν διαγωγὴ ἀπὸ τῆς γαστρὸς
οὕτως· ἀπὸ τὴν γαστέρα τὴν κάτω, δέχεται τὸ περίττω- τίς δέχεται τὸ περίττωμα·
μα ἡ δωδεκαδάκτυλος ἔκφυσις· ἣν καὶ μέρος τῆς γα-
στρὸς τινὲς ἐνόμισαν εἶναι· μετὰ δὲ τὴν δωδεκαδά-
κτυλον ἐστὶν ἡ νῆστις· νῆστις δὲ ἐκλήθη, διότι κεῖται πλη- διατί λέγεται νῆστις·
σίον τινῶν φλεβῶν λεγομένων μεσαραίων, αἳ ἀνιμῶν-
ται αὐτοῦ φυσικῶς τὸν χυμόν, ὡς εὑρίσκεσθαι τὸ τοιοῦτον
ἔντερον ἀεὶ κενόν· μετὰ δὲ τοῦτο, τὸ λεπτὸν ἔντερον διὰ-

δέχονται. πᾶσι δὲ τινὲς ἕλικες ἐν αὐτοῖς, διὰ τὸ μὴ καθαι-
αὐτὰ ἐκπίπτειν θᾶσσον. καὶ μεταξὺ τῶν ἑλίκων τούτων, ὑμε-
νώδης οὐσία, καὶ πιμελώδης κεῖται· ἣν οἱ ἰδιῶται ἐγ-
κλισὶν λέγουσιν· ὑφ' ἧς ἐπέχονται τὰ ἔντερα, καὶ
τὰ ἀπὸ τοῦ ἥπατος μικρὰ φλέβια. μετὰ δὲ τὰ λε-
πτὰ ἔντερα, διαδέχεται τὰ παχέα. ἐν οἷς πρῶτον μέν
ἐστι τὸ τυφλόν, ὃ τὴν κόπρον δέχεται πρῶτον. καὶ ἐπεὶ δὲ
οὐκ ἔχει διέξοδον, ἀναχωρεῖσθαι ταύτην, καὶ οἷον
ἀπεμεῖ· καὶ διαδέχεται τοῦτο τὸ κόλον. ἀλλὰ τὸ μὲν
τυφλόν, ἐν τοῖς δεξιοῖς μέρεσι κεῖται, λοξόν. τὸ δὲ κό-
λον, ἐκ τῶν ἀριστερῶν ὁρμώμενον, καὶ ἑλιττόμενον
ἀνωτέρω τοῦ τυφλοῦ ἐντέρου, ἄνεισι, καὶ φθάνει
μέχρι τῆς δεξιᾶς λαγόνος καὶ αὖθις ὑποστρεφόμε-
νον κάτεισι περὶ τὸν ἀριστερὸν βουβῶνα. διὰ τοῦτο καὶ
οἱ τὸ κολικὸν ἔχοντες νόσημα, τὴν τοιαύτην ἄλγησιν ὀδυ-
νώμενοι, ὄφιν περιπεπλέχθαι αὐτοῖς πολλάκις δι-
ισχυρίζονται. μετὰ δὲ τὸ κόλον, τὸ ἀρχὸν τὴν κόπρον
λαμβάνον, τῷ ἀπευθυσμένῳ ὡς ἐσχάτῳ μεταδί-
δωσι, δι' οὗ ἡ κόπρος ἐξέρχεται, οὐκ ἄλλῃ ἐπεχομένη
διὰ τὸ εὐθὲς τοῦ ἐντέρου· ὅθεν καὶ οὕτως ἐκλήθη. ταῦτα
δὲ πάντα ὑπὸ τῆς γαστρὸς διαφράττεται καὶ διανα

μικρὰ φλέβια τοῦ ἥπατος.

ποῖον πρῶτον δέχεται τὴν κόπρον.

ποῦ κεῖται τὸ τυφλόν, καὶ πῶς. πῶς τὸ κόλον, καὶ μέχρι τίνος φθάνει. —

περὶ κολικοῦ νοσήματος.

ὅρα ὅθεν ἐξέρχεται ἡ κόπρος· καὶ διατί καὶ πόθεν.

τέχαται· διὰ ταῦτα γὰρ ἤδη μουσικὴ δύναμις
κινδομένη τῇ γαστρί, μύας αὐτῇ πολλοὺς περιέθη-
κεν. καὶ οἱ μὲν κάτωθεν, ἄνω φέρονται· οἱ δὲ ἄνωθεν,
κάτω· καὶ οἱ μὲν ἐπευθείας κινοῦνται· οἱ δὲ ἐγκάρσιοι· ἔτι-
σι δὲ καὶ ἄλλοι λοξοὶ ἀπὸ τοῦ στέρνου φερόμενοι· οἱ μὲν
ἀπὸ τοῦ δεξιοῦ μέρους αὐτοῦ ἐπὶ τὸν ἀριστερὸν βου-
βῶνα· οἱ δὲ ἀπὸ τοῦ ἀριστεροῦ, ἐπὶ τὸν δεξιόν· καὶ
καὶ ὁ ἐπίπλοος, καὶ τὸ περιτόναιον διασκέπουσι, καὶ
διαθερμαίνουσι, καὶ δυναμοῦσι πρὸς τὴν τῶν ἐντέρων,
καὶ τῆς ἐν αὐτοῖς ὕλης ἀναβάσταξιν, καὶ ὀχύρωσιν:+

ὅρα περὶ τῶν μυῶν τῆς γαστρὸς καὶ πῶς φιέθη:.

Ὁ δὲ περὶ τὴν ἕδραν μῦς, ὃν καὶ σφικτῆρα ὀνομά-
ζουσιν, ἢ πρωκτόν, συνέχει τοῦ ἀπευθυσμένου τὴν
ἐσχατιάν, ἐξῆς ταύπναται καὶ τὰ περιττώματα
πάντα ὠθοῦνται, τοῦ εἰρημένου ὑποχωροῦντος σφιγ-
κτῆρος. Καὶ σφικτὴρ μὲν λέγεται, ὅτι περισφίγγει,
καὶ οἷον δεσμεῖ τὸ ἔντερον, ἵνα μὴ ἀκόντως περιρρέῃ
ἐνοῖς οὐδὲ εἰ: πρωκτὸς δέ, οἷον περατός, περᾶται δι'
αὐτοῦ προίεσθαι τὸ περίττωμα· ἅπασι δὲ διὰ τῶν ἐν-
τέρων φέρονται διάφοροί τινες, καὶ δριμεῖς χυμοί
ἐκ περιττωμάτων, ἐπειδὴ δῶσεν ἡ φύσις πιμελώ-
δη τινά, καὶ φλεγματικὴν ὕλην, καὶ περιαγαίνωσαν,

ὅρα τοῦ περὶ τὴν ἕδραν μυὸς καὶ πῶς καλεῖται:—

διατί λέγεται σφικτήρ:+

διατί πρωκτός:.

καὶ οἷον ἀποπλάσσουσιν αὐτοῖς, ἵνα περιέχοντά τινα ἔ-
χουσι, καὶ ἀπολύτημα πρὸς τὸ μὴ ῥᾳδίως ὑπὸ τῆς
διερχομένης δριμύτητος δάκνεσθαι καὶ ὀδυνᾶ-
σθαι, καὶ συνοδυνᾶν τῷ ἄνω· τοῦτο γοῦν καὶ ἐπὶ
τῆς γαστρὸς ἐστὶν ἰδεῖν, καθὼς ἔφθην εἰπών. ὅτι παν-
ταχόθεν περίκειται αὐτῇ τὸ ἐπίπλοον καὶ περιτόναιον

ὕρα τὸ ἐπίπλο(ον) ἢ περιτόναιον:

πρὸς φυλακήν· Καὶ πάλιν ἔσωθεν ἐν τῷ τοῦ περιτ-
τώματα κεῖνται, ἀπεπλάσθη καὶ αὐτὴ καὶ περιεγα-
νώθη ὁμοίως τοῖς ἐντέροις, διὰ τὴν εἰρημένην αἰτίαν·
γινώσκουσα γὰρ ἤδη μεριστική, μᾶλλον δὲ ἡ ἡδυμονι-
κὴ φύσις, ὅτι τῶν κλαδῶν μορίων ὑπὸ δριμύτητος
τινὸς δακνόμενα ὀδυνᾶται, καὶ συνοδυνᾶ τῇ αἰ-
αθίσα, τὴν εἰρημένην ἐτεχνάσατο γάνωσιν· πάλιν δ'
ἐπιμελουμένη τοῦ ζώου, πόρους ὀχετικοὺς καὶ τε-
σκάσαν, δι᾽ ὧν καθαίρεσθαι δεῖ τὰ περιττά, καὶ τρυ-
γώδη τοῦ σώματος. Ἐπεὶ δὴ γὰρ οἶδεν ὅτι τὰ λαμβα-
νόμενα τροφή, ἃ καὶ πᾶσα τῷ ἡμετέρῳ σώματι
ὀγκάζει, ἀλλά τι καὶ περίττωμά τι κοινὸν ἔχει· τούτου
χάριν τοὺς τοιούτους ἐπενόησε· καθάπερ καὶ οἱ πολιτῶν
ἐπιμελούμενοι, ὀχετοὺς, καὶ ῥύακας προσκά-
ζουσιν· εἰς λίμνας, ἢ ποταμούς, ἢ θαλάσσας ταῦτα-

ναγόμενα πέμπονται περιττά· τριῶν δ' οὐσῶν πέ- πόσαι πέψεις.
ψεων, τῆς ἐν τῇ γαστρί, τῆς ἐν ἥπατι, καὶ τῆς ἐν παν-
τὶ τῷ σώματι· τρία ἀνάγκη καὶ τὰ γένη τῶν περιτ- ὅτι τρία γένη τῶν περιττωμάτων· +
τωμάτων εἶναι· καὶ τὸ μὲν πρῶτον καλεῖται, περίτ-
τωμα τῆς τροφῆς, στερροῦ, καὶ ἔστι κόπρος· ἐκ- κόπρος·
καθαίρεται δὲ τοῦτο διὰ τῶν ἐντέρων, περὶ τὸ ἀρχι-
κὸν τῆς ἕδρας· τὸ δὲ τῆς δευτέρας πέψεως
περίττωμα, ὑγρόν ἐστι, καθαιρόμενον διὰ νε-
φρῶν, καὶ οὐρητήρων· ὀνομάζεται δὲ οὖρον· τὸ δὲ οὖρον·
τῆς τρίτης πέψεως, περίττωμά ἐστι τοῦ παντὸς σώ-
ματος, καὶ καλεῖται ἱδρώς· καθαίρεται δὲ διὰ τῶν ἱδρώς·
ἀδήλων πόρων· ταῦτα δὲ πάντα γίνονται, ἵνα μὴ
χρονίζοντα σήπηται ἐν τοῖς ἐντέροις καὶ βλάβην οὐ
τὴν τυχοῦσαν ἐπιφέρῃ τῷ ζῴῳ· πᾶσι δὲ τοῖς ἐκκρινο-
μένοις ἀπὸ τοῦ σώματος περιττοῖς, συνεκκρίνεται καὶ
τὸ ζωτικὸν πνεῦμα, ἐν κόπρῳ, ἐν οὔρῳ, ἐν πτύσμασιν, ἐν ἱ-
δρῶτι· ἔντερα δὲ λέγονται, ἀπὸ τοῦ ἀλεῖσθαι, οἷον, ἐν- πόθεν ἔντερα
τάλαια τὰ ἐντὸς ἀλούμενα· ἢ ἀπὸ τοῦ δι' αὐτῶν ἐρᾶν τὴν
ἀπὸ τῆς τροφῆς περιουσίαν· λέγονται καὶ ἔνδινα, ὡς
Ὅμηρος, ψαῦσαι ἐνδίνων· ἔνιοι καλοῦνται τὰ ἐν τοῖς τῶν Ὅμηρος·
ἰνῶν, ἢ τῶν μελῶν, καὶ χολάδες· χόλικα καὶ, χολάδες,

διὰ τὸ κατὰ φύσιν δέχεσθαι τὸ χολῶδες περίττωμα:
μετὰ δὲ τὰ σπλάγχνα, καὶ γαστέρα, καὶ ἔντερα, ἐν τῷ
αὐτῷ τελευτῶσιν αἱ νόθοι πλευραὶ λαγών, λέγεται καὶ-
[καὶ κενεών: λαπάρα·] κενεών, καὶ λαπάρα ὁ αὐτὸς τόπος: τὰ μὲν γὰρ πλησίον τῶν
πλευρῶν ὀστᾶ, λαγόνων ὀστᾶ λέγονται, εἰσὶ δὲ πλα-
τέα: τὰ δὲ ἐπὶ τὴν βάσιν, ὄπισθέν τε, καὶ κάτωθεν,
ἰσχίων ὀστᾶ: τὰ δὲ ἐς τὸ πρόσω μέρος, ἐντεῦθεν ἀνα-
τεινόμενα λεπτὰ ὄντα, καὶ διατετρημένα, καὶ
[ἥβης ὀστᾶ:] συμφυόμενα κατὰ τὸ πέρας ἀλλήλοις, ἥβης κα-
λοῦσιν ὀστᾶ· κατὰ γὰρ τὸν τῆς ἥβης χρόνον αἱ τρί-
χες ἐκεῖσε φύονται, ὃν καὶ τόπον, ἐφήβαιον, καὶ ἐ-
[διὰ τί λέγεται ἦτρον:] πίσιον ἐκάλεσαν· ἦτρον μέν, διὰ τὸ ἀντίον, ἐκ τοῦ
ἐν μετώπῳ, ἦτρον, καὶ ἐν συγκοπῇ ἦτρον· τὸ πέμ-
[διὰ τί ἐφήβαιον] πον τὸ περίττωμα κάτω· ἐφήβαιον δέ, διὰ τὸ φαίνειν
τὰς τρίχας ἐκεῖ ὀλίγας τε, καὶ μικράς, ὥστε μόνον
φῆναι, φαιὸς γὰρ ὁ μικρός· ὁ δὲ τῆς ἥβης χρόνος,
ἀόριστος, διὰ τὴν ἀνισότητα, τοῦ ἐν τοῖς ἡβάσκουσιν
[ἡ εἴσοδος: 55] ἐμφύτου θερμοῦ: εἴσοδον, ἄλλο ὅταν ἡβήσειεν,
καὶ ἥβης μετέχειν κοινῇ: κενεὼν δὲ καὶ λαπάρα, τὸ
[κενεών:] αὐτό· ἀνὰ πόλιν ἐξαλαπάξαι, τουτέστι τῶν ὑπερεχόντων
αὐτῇ κενῶσαι πολιτῶν καὶ πραγμάτων· ἢ διὰ τὸ κενὸν εἶναι

ὀσφύων τὸν τόπον· ἢ διὰ τὴν λάπαθον τὴν βοτάνην, κενω-
τικὴν γαστρὸς οὖσαν· λαγὼν δὲ παρὰ τὸ λήγω, ἐκεῖσε   περὶ λαγόνων
γὰρ λήγουσιν αἱ πλευραί· τὸν δὲ τὸν τόπον κατωτέρω λαγό-
νος, βουβῶνας καλοῦσι, τὸν ἔνθεν κἀκεῖθεν τῆς βαλάνου,   ὅρα βουβῶνας.
καὶ τῶν διδύμων· τὸ δὲ τῆς βαλάνου ἐξίσχον κύστιν λέ-   περὶ τῆς βαλάνου
γουσι, διὰ τὸ εἶναι ἐκεῖσε τὴν οὐροδόχον κύστιν· κοινωνία
γὰρ ἔρχεται διὰ πόρων ἀπὸ τῶν περὶ τὴν ὀσφὺν φυσικῶν
ὑπονόμων τοῦ ἀποκριθησομένου, καὶ τῆς οὐροδόχου κύστεως·
ἥτις δέχεται μὲν ἀπὸ τῶν νώτων αὐτῆς ἔξωθεν ἀπὸ
τῶν νεφρῶν διὰ νάζων, καὶ φλεβῶν τῶν λεπτῶν ὧν
ἔχει, ὁ ἐξάγει γὰρ τὴν αὐτὴν ὕλην, οὐκ ἄλλα δὲ ἀπὸ τοῦ
τραχήλου αὐτῆς, καὶ ἀποκρίνει τὸ οὖρον ἔξω διὰ τῆς
βαλάνου· ἔστι δὲ τὸ λεγόμενον ἀρχὸν αὐτῆς ἐπικεῖ-
ται αὐτῇ, φλεγμαινούσης πολλάκις αὐτῆς, ἐπίσχεσις γίνε-
ται τοῦ κόπρου, καὶ οὐχ ἥκιστα καὶ τοῦ οὔρου· βουβῶνας   διὰ τί ὀνομάζουσι
δὲ ὀνομάζουσι τοὺς εἰρημένους τόπους, ἀπὸ τοῦ συμβαί-   βουβῶνας· καὶ πόθεν:
νοντος οἰδήματος ἐν αὐτοῖς, ἐκ τοῦ βουβῶ τὸ φαίνω· παρὰ
τὸ ἄγαν φαίνεσθαι αὐτὸ, βουβών, καὶ μετὰ τοῦ ἐπιτα-
τικοῦ μορίου τοῦ βου, βουβών· ἐπειδὴ γὰρ οὗτος ὁ τόπος ἀδε-
νώδης ἐστί, αἱ δὲ ἀδένες φύσει ὑπάρχουσιν ἀσθενεῖς, ἢ
ἀραιοί· ὑποστρῶσαι γὰρ αὐτοὺς ἡ φύσις τοῖς μορίοις ἀσχη-

μόνην, καὶ ἀποδοχὴν τῶν περιττωμάτων, ὥσπερ ἐπὶ τῇ
διαίσει τὴν κατὰ χυμοῦ ἐπιπολὴν ταύταις, μηδὲ δυ-
ναμένοις τούτων ἀποδιῶξαι διὰ τὴν φυσικὴν ἀσθένειαν,
ἐπαίρονται ἀσόγκον· ἐπεὶ οὖν συνωτέρως τὸ τοιοῦτο συμ-
βαίνει ἐν τοῖς τόποις τούτοις, ἡ κοινὴ τῆς ὀνομασίας ταύ-
της τετυχήκασιν·

ὅθεν κύστις·

ἡ δὲ κύστις, ἀπὸ τοῦ κυεῖν τὸ οὖρον·

οὐρητικὰ ὄργανα· καὶ διαίρεσις αὐτῶν·

τῶν οὐρητικῶν ὀργάνων· τὰ μὲν, διακριτικά εἰσι
τῶν οὔρων, ὥσπερ νεφροί· τὰ δὲ παραδεκτικά, ὥσ-
περ τὰ ἐξ ἥπατος ἐρχόμενα πρὸς νεφροὺς ἀγγεῖα·
καὶ χεὶρ γὰρ τῆς ὀσφύος αἱ μεσαραϊκαὶ φλέβες φέ-
ρονται· τὰ δὲ ὑποδεκτικά, ὥσπερ ἡ κύστις· τὰ δὲ
ἀποκριτικά, ὥσπερ ὁ τράχηλος τῆς κύστεως·

ἑτέρα διαίρεσις·

καὶ τὰ μὲν αὐτῶν χρείαν μόνην παρέχεται, ὥσπερ τὰ
ἀγγεῖα τὰ παραδεκτικά· ἐνέργειαν δὲ οὐδεμίαν. τὰ
δὲ ἐνεργεῖ ὥσπερ οἱ νεφροί, καὶ ἡ κύστις· ἡ καὶ γὰρ τὸν περιτ-
τὸν ταυ κόσμον ἀπολαμβάνει τὸ οὖρον· τὸ ὄπισθεν τῆς κύ-
στεως, καὶ βουβῶνος, καὶ λαγόνος, ὀσφὺς λέγεται ὁ

ποῖος τόπος λέγεται ὀσφύς

τόπος· ἐν ᾧ καὶ οἱ νεφροί· ἐστὶ δὲ ἡ οὐσία αὐτῶν,
ἀδενώδης, καὶ χαλαρά, ὁμοία τοῖς ὄρχεσιν· αἴτιοι

περὶ νεφρῶν·

δ' εἰσὶν οἱ τοιοῦτοι νεφροί, καὶ τῆς κατὰ τὴν συνουσίαν ὀρέ-
ξεως, καὶ τῆς τοῦ αἵματος καθάρσεως, τὸ ὀρρῶδες αὐτοῦ

ἔχοντες, καὶ ἀδδοποιοῦντες τὰς οὔρων σύστασιν καθ'
κατόπιν ἐγγέγραφα· νεφροὶ δὲ παρὰ τὸ καὶ φέρεσθαι τὸ οὖ —
ρον, ὅτι ἐκεῖ ἐφίχεσθαι: ἡ δὲ ὀσφύς, οἷον, ἰσοφυής· ἤτοι (περὶ νεφροί·)
πρὸς τὸ ἄνω καὶ κάτω ἐφ' ἴσης κεῖται τοῖς ὀστοῖς, σπόνδυλοι (ὀσφύς·)
γὰρ ἄσσοι ε' εἰσὶν ἀεὶ θηκοί· παχύτατοι τῶν ἄλλων καὶ με — (περὶ σπονδύλων τοῦ τρήματος αὐτῶν·)
γάλοι· τὸ δὲ τρῆμα τὸ ἔνδοθεν στενὸν ἔχουσιν· διότι
καὶ ὁ νωτιαῖος μυελὸς κατὰ τὴν ὀσφὺν ἰσχνός ἐστιν· ὅ —
σον γὰρ κατέρχεται στενοῦται ὁ μυελός· τὰς ἀποφύσεις
οὗτοι οἱ σπόνδυλοι ἀνωχιούσας ἔχουσι: λέγεται καὶ ὀσφὺς
ἰσοφυής· ἐπειδὴ γὰρ ἐστὶν ὅλος ὁ τόπος αὐτῆς: λέγεται καὶ
ἰσχίον, ἰσχναίνεται γὰρ καὶ οἷον λεπτύνεται, ὡς πρὸς τὸ
ἀνεστηκὸς τοῦ ὅλου σώματος τοῦ τὸ μέρος: τὸ δὲ ἀκρό —
τατον τῆς ὀσφύος μέσον, ὡς πρὸς τὴν ἕδραν ἀνωτέρω, ἱε — (ἱερὸν ὀστοῦν)
ρὸν ὀστοῦν καλεῖται· ἢ ὅτι μέγα ἐστίν, ἱερὸν δὲ τὸ μέγα·
ἢ ὅτι κύριον, παθὼν γὰρ ἀναιρεῖ· ἢ ὅτι ἱερουργοῦσιν αὐτὸ
τοῖς δαίμοσι κατὰ τὸ ἀρχαῖον οἱ ἕλληνες: ἔστι δὲ καὶ αὐτὸ
ὅμοιον τοῖς ἠριθμημένοις σπονδύλοις τῆς ῥάχεως: αἱ δὲ
ἐς τὸ πλάγιον ἀποφύσεις αὐτοῦ, μεγάλαι εἰσί, καὶ
πλατεῖαι· ἔχουσαι καὶ κοιλότητας· καθάπερ αἱ ὑποφύ —
σεις κατὰ τῶν λαγόνων ὀστᾶ: ὑπόκειται δὲ τούτῳ τῷ ἱε —
ρημένῳ ὀστῷ· ἕτερον ὀστοῦν χονδρῶδες, πλατύ, μικρ(όν),

κόκκυξ ὅπερ· κόκκυξ ὀνομαζόμενον, ὅπερ τινὲς οὐραῖον λέγουσιν,
οὐ σωματώδες τοῦτο λέγοντες· ἐπεὶ γὰρ τῶν ἀλόγων ζώων
τοῦτο καλεῖσθαι χρεών· ὡς καὶ ὁ Ὅμηρος ἐπὶ τοῦ λέοντος
οὐρῇ δὲ πλευράς τε, καὶ ἰσχία, ἀμφοτέρωθεν μαστι-
ζεται, ἑὲ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι· κόκκορα
Γαληνός·· τὸ ὅπισθεν τοῦτο καλοῦσιν, ὥς φησιν ὁ Γαληνός, ὅτι τὰ ἐξερ-
χόμενα ἐκεῖθεν πνεύματα διὰ τῆς ἕδρας αὐτοῦ προσηχοῦ-
ντα κοκκύζει, ἀπομιμεῖται φωνὴν τοῦ κοκκύζοντος ὄρνι-
θος· ἢ διὰ τὸ κολλᾶσθαι τῇ ἕδρᾳ, ἵνα μὴ ἐξανοίγηται ἐπὶ
πόσον λέγεται κόλον·· πλέον· ἐκ τοῦ κόλαξ, κόλον, καὶ παράγωγον κόκκυξ· κόλον
γὰρ αὐτὸ ὡς οὐ κατὰ τὸ ὁλόκληρον· τὸ γὰρ μικρόν, καὶ οὐ κατὰ τὸ ὁλόκληρον,
Ὅμηρος·· καὶ ὁ Ὅμηρος κόλον καλεῖ, τῇ λαιᾷ τε χειρὶ κόλον δόρυ:
ἡ δὲ ἕδρα, καὶ δακτύλιος λέγεται, διὰ τὸ δακτυλίῳ
σφικτὸν εἶναι· ἢ ἀπὸ τῆς περιστρογγυλότητος τοῦ σημαντῆ-
ρος· λέγεται δὲ καὶ σημαντὴρ ὁ σφιγκτήρ, διὰ τὸ σημαίνειν
αὐτὸν καὶ μηνύειν τὴν ἔξοδον τοῦ πνεύματος· τινὲς δὲ καὶ τὸ ὀ-
πίσθιον τὸν κόκκυγα ἐπὶ τούτου ἐνόησαν· μηνυτὴς γὰρ ἔαρος
περὶ ἕδρας·· ὁ κόκκυξ· ὥς φησι καὶ ὁ ἀλέκτωρ ἡμέρας· ἡ δὲ ἕδρα, πα-
ρὰ τὸ ἑδραῖον τοῦ τόπου, καὶ ἰσχυρόν· ἢ παρὰ τὸ ἕζω, τὸ
πόσα αἰδοῖα, ἢ διατί·· καθέζομαι, ἐξ οὗ καὶ καθέδρα: τὰ περὶ κοιλίας διδύ-
μοις, καὶ αὐτὴν τὴν βάλανον σώματα, προσαγορεύονται

αἰδοῖα, αἰδούμεθα γὰρ καὶ γυμνῶσαι αὐτά, καὶ ὀνομάσαι παρὰ καιρόν, ἢ τόπον· τὸ δὲ βάλανος, καὶ καυλὸς λέγεται, καὶ συριγγῶδες νεῦρον, καὶ ψωλή, ἡ κύστις· τὸ δὲ περικαλύπτον αὐτὴν δέρμα, πόσθη, καὶ πρόσθεμα καλεῖται· πόσθη μέν, διὰ τὸ οἷον ἐπικεῖσθαι, καὶ προσκεῖσθαι δοκεῖ· πρόσθεμα δέ, παρὰ τὸ ἀλλήλοις ἐν ταῖς συνουσίαις προστίθεσθαι· ἢ διὰ τὸ ἐπὶ τὰ ἔμπροσθεν μᾶλλον εἶναι· βάλανος δὲ ὅτι κατὰ τὴν ἐμφέρειαν βαλάνῳ προσέοικεν· ψωλὴ δέ, κατὰ τὸ ἐμφυσᾶσθαι κατὰ τὴν ὄρεξιν τῶν ἀφροδισίων· καὶ ὅτι φύσα φυσῶδες τὸ πέρας τελούμενον· ἢ περὶ τὸ ψωλὸν τὰ ἅπτεσθαι, καὶ κνήθω· κνησμὸς γὰρ ἐστὶ τὰ τῆς ἡδονῆς· συριγγῶδες δὲ νεῦρον, ὅτι ποτὲ μὲν αὔξει, ποτὲ δὲ λήγει συριγγούμενον, καὶ διὰ πέρας φάραγγος· καυλὸς δέ, ὡς ἐπὶ μῆκος αὐλός, πέρας ἔχουσα τοῦ, ἢ καυλός· διὰ τοῦτο κατεσκεύασθαι ἐπὶ μῆκος, ἵνα ὡς ἐκ σφενδόνης πέρα πέμπῃ τὴν γονὴν ἐν τῇ μήτρᾳ ὡς ἐπὶ μήκους, καὶ μὴ ἀπομένουσα ἔξω ἀφορίας αἴτιον γίνηται· τὸ δὲ νευρώδης διόλου μετὰ μυῶν τῇ οὐσίᾳ, ἔχον ἡ φλέβας, καὶ ἀρτηρίας· τὸ δὲ χεῖλος αὐτοῦ διπλοῦν, ὥστε ἀξ ... ἀφίεσθαι· καὶ πρὸς ἀπομένουσι τοῦ

βαλάνου ὀνόματα· ἤγουν δέρματος αὐτοῦ

διὰ τί πόσθη·

διὰ τί πρόσθεμα·

διὰ τί βάλανος·

διὰ τί ψωλή·

διὰ τί συριγγῶδες νεῦρον·

διὰ τί καυλός·

διὰ τί ἐπὶ μῆκος ὁ καυλός·

ὁ νευρώδης ὁ καυλός

ὅρος οὐρήθρ(ας):

οὐρεῖν· οὐρήθρα δὲ λέγεται, τὸ ὑποδέχημα τοῦ αἵματος. ἡ ὀρθότης συμπάσης περιφερείας· οἱ δὲ δίδυμοι, καὶ ὄρχεις καλοῦνται, καὶ μήδεα· μήδεα μέν, παρὰ τὸ μήδειν, καὶ ἄρχειν τῆς γενέσεως· ὅμηρος, μήδεα δ' ἐξερύσας, δώσῃ κυσίν· τὸ δὲ περιέχον αὐτούς, ἤγουν τὸ δέρμα, ὄσχεος ὀνομάσθη, ἀπὸ τοῦ περισχεῖν ταῦτα· ὄρχεις φημί, καὶ παραστάτας, καὶ τὰ σπερματικὰ ἀγγεῖα. καὶ τὸν ἐρυθροειδῆ χιτῶνα, καὶ τὸν δαρτόν. ταῦτα δὲ πάντα ὑπὸ τοῦ ὀσχέου περιέχεται· ὄρχεις μέν, παρὰ τὸ ὀρέγεσθαι ἀφροδισίων, παρὰ τὸ ἔχειν τὴν ὄρεξιν. ἢ οἱ ἔρχεις, ὡς οἷς ἔρχεται ἡ γονή· ἡ δὲ ἡ οὐσία αὐτῶν ἀδενώδης, καὶ ψαφαρά, πεποιημένη πρὸς τὴν τοῦ σπέρματος γόνιμον δύναμιν· οἱ δὲ παραστάται, οἱ καὶ κρεμαστῆρες λεγόμενοι, ἔκφυσίς εἰσι τοῦ νωτιαίου μυελοῦ, καὶ τῆς μήνιγγος· συμφυεῖς ἀρτηριώδεσιν ἐν τοῖς διδύμοις καθήκουσαι, δι' ὧν ἡ τοῦ σπέρματος εἰς τὸ αἰδοῖον γίνεται πρόεσις· σπέρμα δὲ οὖν λέγεται, διὰ τὸ σπαρμένον ἔχειν ἐν ἑαυτῷ τὴν τῆς δυνάμεως ποιότητα, τοῦ γενέσθαι τὸ ὅμοιον τῷ ζῴῳ, ἐξ οὗ καὶ ἀπεκρίθη· τὰ σπερματικὰ καὶ τὰ ἀγγεῖα, φλέβες εἰσὶν ἀπὸ τῆς κοίλης φλεβὸς ἐρχόμεναι, ἤτοι

ὅτι οἱ δίδυμοι καὶ ὄρχεις, καὶ μήδεα καλοῦνται:

τὰ περιεχόμενα ὑπὸ τοῦ ὀσχέου:

πόθεν ὄρχις:

τί παραστάται:

διατί λέγεται σπέρμα:

τί τὰ σπερματικὰ ἀγγεῖα:

ἐπὶ καὶ τῇ ῥάχει ἄνωθεν ἔσω ὡς κάτω· διὸ τῶν φλεβῶν
οἱ δίδυμοι τρέφονται· ἐν ταύταις γὰρ τὸ ὁρμῶδες περι-
ττὸν ὑγρὸν τίκτεται, μεταβάλλει θ' ἐντὸς τοῦ αἵματος, καθά-
περ ἐν ταῖς τιτθαῖς τὸ γάλα τῶν γυναικῶν· πάντες γοῦν μὲν
οὖν αἱ ἀρτηρίαι, καὶ φλέβες, αἱ οὖσαι ἐντὸς διδύμοις
τὸ αἷμα τὸ ὁρμῶδες ὑγρόν, ἵνα τρέφωνται, ὅπερ καὶ
σπέρματος τὴν ἀρχὴν ἡ γένεσις αὐτῶν· ὅσα γὰρ ἐκ
σπέρματος γεννᾶται, ἐκ τούτου καὶ τρέφεται· καὶ ὅ-
σα ἐξ αἵματος, ἐξ αἵματος· αἱ τοίνυν ἐκ σπέρματος
γεννῶνται, καὶ τρέφονται· καὶ τὸ περιττὸν αὐτοῖς γί- τὰ αἴτια τῆς συνουσίας
νεται γονή· αἱ φλέβες δὲ αὗται, καὶ ἀρτηρίαι, ἃς τοῖς
διδύμοις ἐμπίπτουσαι αἴτιοι τῆς συνουσίας γίνονται,
τρέφουσι τοῦτο· διερχόμεναι δὲ διὰ τῶν νεφρῶν, ἀ-
ρύονται θερμότητα καὶ τὴν ἐρεθίζουσαν ὄρεξιν, ὥς-
περ γὰρ τὸν κνησμὸν ἡ θερμότης ποιεῖ· οὕτως καὶ τὴν ὄ-
ρεξιν ταύτην· ἐπὶ δὲ τῶν διδύμων ἡ σὰρξ ἁπαλή ἐστι,
πλείονα τὴν θερμότητα δεχομένη ὑπὸ τὸ δέρμα, ἐμ-
μανῆ ποιεῖ τῆς γονῆς τὴν ἐπιθυμίαν πρὸς ἔκκρισιν· καὶ πόθεν ἀναφέρεται ἡ γονή·
περ ὧν μὲν ἀναφέρεται ἡ τοιαύτη γονὴ ἀπὸ τὴν κεφαλήν·
πάλιν δὲ ἀπὸ τῆς κεφαλῆς καταφέρεται, διὰ δύο φλε-
βῶν, καὶ δύο ἀρτηριῶν ἀπὸ τὸν ὄσχεον, καὶ ἐμπίπτει εἰς τὰ

κάτωθεν τῶν διδύμων, μία ἀρτηρία τῶν ἠρτημένων, καὶ μία φλὲψ πλήρης σπέρματος, καὶ ἐν τούτοις τὸ λάσωσ ἀπὸ σπέρμα τοῦτο· καὶ διὰ τοῦ ἀσκοειδοῦς περιπάτου ἀπὸ τῶν διδύμων μεταπέμπεται εἰς τὴν βάλανον, καὶ κάθεν ἐκκρίνεται μετὰ πνεύματος, ὥσπερ ἐκσφενδονίστρας τινός· τοῦτο δὲ γίνεται διὰ τὴν ἠρτημένην ἔμπροσθεν αἰτίαν, καὶ ὅτι ἀρτηρία ἐστὶν, ἡ περιπέμπουσα· τὸ δὲ πρῶτον ἡ γονὴ ἀπὸ τὴν κεφαλὴν ἀνέρχεται, δῆλον αὐτόθεν, εἰ γάρ τις ἀπέτεμε τὰς φλέβας τὰς περὶ τὰ ὦτα, καὶ παρωτίδας, ἄγονον ἀπομένει τὸ ζῶον· χιτὼν δέ ἐστι ναρκώδης ὅλως ὅσον διέρχονται τὰ τῆς γονῆς ἀγγεῖα, λεγόμενος ἐρυθρός, κατὰ τοὺς βουβῶνας αὐτοῖς κείμενος, καὶ τοὺς ὄρχεις ἀναβαστῶν, καὶ ἔστιν κατὰ μὲν τὰ κεφαλὰ τῶν διδύμων, καὶ ἔμπροσθεν πρὸς τῷ φυσικῷ τῶν διδύμων· ἀπόφυσις δέ ἐστιν οὗτος ὅθεν περ τοῦ περιτοναίου· ἅπτεται δὲ περὶ αὐτοῦ ἔμπροσθεν, ὅτι ἐπὶ τὴν γαστέρα καὶ τοῦ ἐντέρου περιτέταται· ἀν δὲ τοῖς κάτω μέρεσιν αὐτοῦ τινὲς ἀποφύσεις ἀσιν, οἷον, κόλποι, βαλαντοειδεῖς· ὁ μὲν περὶ τὰ δεξιὰ μέρη, ὁ δὲ περὶ τὰ ἀριστερά· ἐν οἷς περιέχονται οἱ δίδυμοι· ἔσωθεν δὲ τοὺς τούτους κόλπους ἐμφάλλουσι τὰ ἠρτημένα σπέρματι καὶ ἀγγεῖα, καὶ

ὅρα πῶς μένει ἄγονον τὸ ζῶον:-

πομίζουσι τοῖς ὄρχεσι τὴν γονήν. Τοῦ τοῦ δὲ τοῦ ἐρυθροῦ, περὶ τοῦ ἐρυτρέως:
ἤγουν τοῦ βαλαντοειδοῦς χιτῶνος ἐκ βίας τινός, ἢ βάρους,
ἢ πηδήματος, ἢ δρόμου, ἢ φωνῆς, ἢ σηκώματος ἀναγο-
μένου τοῦ ἐντέρου, εἰς τὸν ὄσχεον καταφέρεται, διὰ τὸ
ἐπικεῖσθαι τῷ ἐρυθρῷ, καὶ γίνεται ἐντεροκοιλία: ἐρυ-
τρεὺς δὲ ὀνόμασται, παρὰ τὸ ἐρύκω τὸ βοηθῶ. ἐκ τούτου
ἐρυκὸς ὀνόμασται, καὶ παρὰ γοργὸν ἐρυκτός, ὁ βοηθός.
καὶ ἀποβολὴ τοῦ κ. καὶ προσθήκη τοῦ ρ ἐρυτρεύς. βοη-
θὸς γὰρ καὶ οὗτος τοῖς ὄρχεσιν, ἀπὸ ἐν αὐτῷ κρέμανται.
ἢ οὕτως, κύριος, ἔρυτος. καὶ ἐξ αὐτοῦ ἐρυτρεύς, ὁ πλα-
τύς: φασὶ δὲ τινες ὑμένες προσκολλώμενοι τῷ ἐρυτρεῖ, ὑμένες προσκολλώμενοι τῷ ἐρυτρεῖ:
καὶ διὰ τοῦτο διότι ἔξωθεν δέρματός φασι, δαρτοὶ προ-
σαγορεύονται, οὐ γὰρ ἀμέσως ἐπίκεινται οἱ ὄρχεις
τῷ ὀσχέῳ, ἵνα μὴ ῥαδίως ψύχωνται ὑπὸ τοῦ κρύους,
μὴ δ' ὑπὸ τῆς θερμότητος ὑποχαλῶσιν, καὶ αἱ γυναῖ- περὶ γυναικῶν. ὅτι αἱ γυναῖκες πάντα τὰ αὐτὰ μόρια τοῖς ἀνδράσιν ἔχουσιν:
κες δὲ πάντα τὰ αὐτὰ τοῖς ἀνδράσιν ἔχουσι μόρια,
ἀλλ' ἔνδον, καὶ οὐκ ἔξω: περὶ αὐτό τε ἔνδον δὲ αὐταῖς μόρι-
των ἀνδρῶν ἐν ᾧ βρεφουργοῦνται τὰ ζῶα. ἤγουν αἱ μή-
τραι: ἔχει δὲ δύο κοιλίας, δεξιάν, καὶ ἀριστεράν
ἐν αἷς ζωοῦνται τὰ ἔμβρυα. φησὶ γὰρ Ἱπποκράτης, ἔμ- Ἱπποκράτους περὶ ἀρρένων καὶ θηλέων:
βρυα, τὰ μὲν ἄρρενα, ἐν τοῖσι δεξιοῖσι. τὰ δὲ θήλεα,

ἐν τοῖς περὶ ἀφροδισίων· λέγουσι δέ τινες καὶ πλείονα τῶν διὸ τίκτει αὐτήν· εἰσὶ δὲ καὶ οἱ μακροὶ πελαργοί· ἐν μεγέθει· καὶ τὸ ἐν αὐταῖς λεγόμενον γάλα, τὰ δ' ἄλλα παραπλήσια πάντα, πλὴν τῆς διαφορᾶς τοῦ ἄρρενος πρὸς τὸ θῆλυ· τὸ μὲν γὰρ ἔχει ἀρρενότητα τινά, οὐ μόνον ἐν τοῖς ἁρμένοις παιδιουργοῖς μορίοις· ἀλλὰ καὶ ἀνδρώματι, καὶ θεωρίᾳ, καὶ ἤθει, καὶ κατασκευῇ· τὸ δὲ θῆλυ ταῦτα ἔχει ἐν τῇ τοῦ σώματος κατασπᾶσα, καὶ τῇ φυσικῇ ἀσθενείᾳ, καὶ τῷ ὅλῳ συγκεῖται· ὅτι δὲ ἡ διαφορότης τοῦ ἄρρενος πρὸς τὸ θῆλυ καὶ φυσική, μάρτυς ὁ φοῖνιξ· λέγουσι δέ τινες τὴν ἀρρενότητα τοὺς ἄνδρας ἐν τοῖς ὄρχεσιν ἔχειν, ὅτι ἀποτμηθέντων αὐτῶν θηλύνονται, καὶ γυναιξὶ παραπλήσιοι γίνονται, μήτε γόνιμον φέροντες, μήτε τὴν φυσικὴν δύναμιν ἔχοντες τῆς παιδοποιΐας, διὸ καὶ ἀμφιβόλους τῷ γένει αὐτοὺς ὁ θεολόγος καλεῖ· ἀμείβεται δὲ αὐτοῖς καὶ τὸ τῆς φωνῆς ἀνδρεῖον, καὶ οἱ κουρζοῦσι τὰ πολλὰ παραπλήσια ἐκείναις: τὰ περὶ τῶν μηρῶν, καὶ ποδῶν τῶν ὡς ἀφέντες μόρια, ἐπεὶ τὰ τῶν χειρῶν ἀποψώμεθα· τοῖς μὲν γὰρ ἄλλοις ζῴοις τὰ ἐμπροσθίῃ κῶλα τοῦ

παρὰ φοίνικος

στόματος, πόθεν εἴσι, διότι τὸ κακυφὸς τὸ δεῖ τὸ
τοῦ ὑποφίδοντος· ἐστὶ δὲ τῆς τοῦ ἀνθρώπου κατασκευῆς,
χεῖρες τὰ κῶλα εἰμένον τὸ· τῷ γὰρ ὀρθίῳ τοῦ σχήματος περὶ χειρ
αὐτάρκης ἦν πρὸς τὴν χρείαν ἡ βάσις, διπλοῖς
ποσὶν τὰς ἀσφαλείας τὴν βάσιν ἐρείδουσα· ἀλλὰ καὶ
τῇ τοῦ λόγου χρείᾳ συνεργὸς γίνεται τῶν χειρῶν ὑπουργία·
καί τις ἴδιον τῶν χειρῶν ὑπηρεσίαν ἀνθρώπων, τῆς λογικῆς
φύσεως, οὐ τοῦ παντὸς ἁμαρτήσεται· οὐ μόνον πρὸς
τὸ κοινὸν τοῦτο καὶ πρόχειρον ἀποβλέπων τῇ διανοίᾳ,
ὅτι γράμμασι τὸν λόγον διὰ τῆς τῶν χειρῶν ἐνεργείας
ἐνσημαινόμεθα· ἔστι γὰρ καὶ τοῦτο λογικῆς χάριτος τὸ
φθέγγεσθαι διὰ γραμμάτων τινάς, καὶ τρόπον
τινὰ διὰ χειρὸς διαλέγεσθαι τοῖς τῶν στοιχείων χα-
ρακτῆρσι τὰς φωνὰς ἐναρμόζοντας· ἀλλ' ἐγὼ πρὸς ἕ-
τερα βλέπων φημί, φησὶν ὁ Νύσσης Γρηγόριος, συνερ- Νύσσης Γρηγόρι
γᾶν τὰς χεῖρας τῇ ἐκφωνήσει τοῦ λόγου· εἰ γὰρ καὶ μυρί'
ἐστὶν ἀπαριθμήσασθαι τὰς κατὰ τὸν βίον χρείας, ὧν
ἃς αἱ εὐμήχανοι αὗται καὶ πολυαρκεῖς τῶν χειρῶν ὄργα-
να χρησίμως εἶχαν πᾶσαν τέχνην, καὶ πᾶσαν ἐνερ-
γειαν τῶν κατὰ πόλεμον, καὶ εἰρήνην εἰς φῶς μετιόντων·
ἀλλά γε πρὸ τῶν ἄλλων διαφερόντως, τοῦ λόγου χάριν

προσέθηκεν αὐτὰς τῷ σώματι ὁ θεός. ¶ εἰ γὰρ
ἄμοιρος τῶν χειρῶν ὁ ἄνθρωπος ἦν, πάντως ἂν αὐτῷ κα-
θ' ὁμοιότητα τῶν τετραπόδων καταλλήλως τῇ
τῆς τροφῆς χρείᾳ διεσκευάσθη τοῦ προσώπου τὰ
μόρια, ὥστε προμήκη τὴν μορφὴν ἔχειν, καὶ ἐπὶ
μυκτῆρας ἀπολεπτύνεσθαι, καὶ προσβεβλῆσθαι
τὰ χείλη τοῦ στόματος, τυλώδη ὄντα, καὶ σταθερά,
καὶ παχέα πρὸς τὴν ἀναίρεσιν τῆς πόας ἐπιτηδείως
ἔχοντα. ¶ ἐγκεῖσθαι δὲ τοῖς ὀδοῦσι τὸ ὑπὸ ὀδόντας γι-
νόμενον, καὶ τὴν γλῶτταν οὐ τοιαύτην εἶναι, ἀλλὰ
πολύσαρκόν τινα, καὶ ἀντίτυπον, καὶ τραχεῖαν,
καὶ συγκατεργαζομένην τοῖς ὀδοῦσι τὸ ὑπὸ ὀδόντας
γινόμενον, ἢ ὑγράν τε καὶ διακεχυμένην καὶ
ἐπὶ τὰ πλάγια, οἵα ἡ τῶν κυνῶν, καὶ τῶν λοιπῶν ὠμ-
οβόρων. ¶ εἰ οὖν μὴ παρῆσαν αἱ χεῖρες τῷ σώματι,
πῶς ἂν ἡ ἔναρθρος ἐνεσημάνθη φωνή, τῆς κατασκευῆς
τῶν κατὰ τὸ στόμα μορίων, οὐ σχηματιζομένης πρὸς
τὴν χρείαν τοῦ φθόγγου, ὥστε ἐπάναγκες εἶναι βλη-
χᾶσθαι πάντως ὡς πρόβατον. ¶ ἢ μυκᾶσθαι, ¶ ἢ ὑλακτεῖν
ὡς κύνα. ¶ ἢ χρεμετίζειν ὡς ἵππος. ¶ ἢ φυσᾶν, καὶ
ὄνοις βοᾶν παραπλήσιον. ¶ ἤ τινα θηριώδη ἀφιέναι

φωνήν. νυνὶ δὲ τὰς χεῖρας ἐντεθείσας πως ὁμαλῆ,
κατὰ τὴν ἄρρητον σοφίαν τοῦ κτίσαντος, ὡς ὑποχορηγεῖ
ἡ χεὶρ αὐτῷ ὁμαλῇ τῇ ὑπηρεσίᾳ τοῦ λόγου. καὶ γὰρ
μουσικὸς ᾄδων τῇ χειρὶ σημαίνει κατὰ τὸ ᾀδόμενον.
καὶ αὐτὸς κατὰ τοὺς χειρὸς τύπους, ταῦτα καὶ διὰ τῶν
φωνητικῶν ὀργάνων δεικνύσι κατὰ τὴν μελῳδίαν. ἀλλὰ
καὶ ψαλμῳδός, ἢ οἱ τῶν χειρῶν περισπώμενοι, ἐπὶ
καὶ χρήσοιντο τὰς χεῖρας, σκευῶν ποικίλου θούσας τοῖς
ᾀδομένοις, κατὰ μέλος ἀφοιδήκασι, διὸ καὶ τινὲς
ἐν τῷ διαλέγεσθαι καὶ τὰς χεῖρας κινοῦσι, δεικνύν-
τες τοῦτο ὅτι τῆς λογικῆς φύσεως ἴδιον ὄργανον αἱ χεῖρες
ἀναπεφύκασιν, καὶ μάλιστα τῆς ἐννοίας. διὰ τοῦτο
καὶ ὁ ψαλμῳδός φησι, κατὰ τὰ ἔργα τῶν χειρῶν αὐ-
τῶν, δὸς αὐτοῖς. καὶ ἄλλος προφήτης, οὐαὶ τῷ ἀνόμῳ,
πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται
αὐτῷ. οὐ γὰρ δεῖ τοὺς ἐν ταῖς τέχναις ἐργαζομένους
εἰς πορισμὸν τροφῆς, καὶ ὠφέλειαν πολλῶν. οἱ προ-
φῆται καταβοῶσιν. ἀλλὰ τοὺς ἐργαζομένους τὴν ἀνο-
μίαν ὑποδεικνύουσιν. ὥσπερ καὶ τῶν τοῦ νοὸς ἐνεργειῶν
αἱ χεῖρες ἀποτελεστικαί, ὡς ἂν ὅπου κινοῖτο τὸ κατάρχον,
οὕτω κινοῖντο αἱ ἐνεργοῦσαι: χεῖρες οὖν ἀπὸ τῆς χρήσεως

ὅτι ἐν τῷ διαλέγεσθαι τινὲς τὰς χεῖρας κινοῦσι:

πόθεν χείρ +

λέγονται, ὥσπερ ἀνάχειραι οὖσαι. οὐδεμία γὰρ τέχνη προ-
κόπτει δίχα χειρῶν, καθὼς ὁ ποιητής, χειρῶν ὁ κλυτοεργὸς
ἔρρει πολύεργος ἀθήνη. εἴχαρ, παρὰ τὸ ἔραον χεῖ-
σθαι. ἢ παρὰ τὸ ἰσχῷ τὸ κρατῶ, ἢ ἐπιτήδειος πρὸς τὸ
τὸ κρατεῖν. ἢ ἀπὸ τὸ δι' ἴσων τῶν δακτύλων καὶ δια-
πόθεν ὠλένη:
χεῖν. λέγονται γὰρ καὶ ὠλέναι, ἀπὸ τοῦ δι' αὐτῶν ὠλί-
διαιρέσεις χειρός:
σθαι τὰ ὀπράξας, ἤγουν πληροῦσθαι. τῆς οὖν χειρός.
τὸ δὲ, μετακάρπιον.
τὸ μὲν, βραχίων καλεῖται. τὸ δὲ, πῆχυς. τὸ δὲ, καρ-
πός. τὸ δὲ, παλάμη, ἀφ' ἧς οἱ δάκτυλοι. καὶ βρα-
χίων μὲν, οἷον, βραχύ, βραχύτερον γάρ ἐστι τοῦ μηροῦ
τὸ ὀστοῦν τοῦ βραχίονος, διαρθροῦνται γὰρ κατ' ἄμφω
τὰ πέρατα. κατὰ μὲν τὸν ὦμον ἐπίφυσιν ἔχει κεφα-
λῆς ἐν μεγέθεσι. τὸ δὲ κάτω πέρας αὐτοῦ εἰς κονδύλους
ἀνίσους τελευτᾷ. καὶ πρὸ μὲν τὸν ἔξω κόνδυλον, ἡ τῆς
κερκίδος κεφαλὴ διαρθροῦται, πρὸς δὲ τὸν ἔνδον οὐδέ..
κοιλότης δέ ἐστιν ἐν τῷ κάτω πέρατι τοῦ βραχίονος,
περιχειλίσιν ἐοικυῖα, περὶ ἣν ὁ πῆχυς κινεῖται. καὶ ἔμ-
προσθεν αὐτοῦ ἄλλη, ὑποδέχονται δὲ αὗται αἱ κοιλότητες,
τὰς κορώνας τοῦ πήχεως, ἡ μὲν τὴν ὀπίσω καὶ μετό-
σιν, ἡ πρόσω κοιλότης, τὴν πρόσω κορώνην. κατὰ δὲ
περὶ τῆς κεφαλῆς τοῦ βραχίονος:
τὰς ἐκτάσεις, ἡ ὀπίσω τὴν ὄπισθεν. ἡ κεφαλὴ δὲ τοῦ

βραχίονος πρὸς τὴν τῆς ὠμοπλάτου διαρθροῦται καὶ
κοτύλη. ὑποφανίσκει δὲ αὐτῷ τῷ ὤμῳ καὶ ἡ ἀγκυρο-
ειδὴς τῆς ὠμοπλάτης ἀπόφυσις, ἣ ἐπίκειται μῦς ὁ
λεγόμενος δικέφαλος, κατὰ τὸ ἀκρώμιον, καὶ τὴν
διάρθρωσιν τῆς κλειδὸς, κάρα ἀποτείνων, καὶ ἔμπρο-
σθεν τῶν δύο ἀκρωμίων, τένοντας ὀνομαζομένους,
ἀναβαστάζοντας καὶ αὐτὸν καὶ τὸν βραχίονα. φασὶ
δὲ καὶ ἄλλοι τένοντες εἶναι μυῶν ὑποκάτω τοῦ ὤμου.
ἐν τῷ τόπῳ οὗ ἡ μασχάλη ἐστίν. ὁ μὲν εἷς ἐκ τοῦ στέρ-
νου. ὁ δὲ ἕτερος ἐκ τῶν ὄπισθεν, ὡς τὸν βραχίονα — ἐκ τῶν βραχιόνων
ἐμφυτούμενοι, μέχρις ἀγκῶνος πάσας τὰς τῆς
χειρὸς εὐεργεσίας ἀπεργαζόμενοι: ἡ οὖν μασχάλη
ἐτυμολογεῖται, παρὰ τὸ λίαν κατέχειν καὶ κρύπτειν
ἅτινα αἰσχρά. ἢ ἀπὸ τοῦ χαλᾶσθαι τὸν μασθόν, εἰς
ἣν χαλᾶται ὁ μῦς, ἢ παρὰ τὸ μηκύνειν τι ἀπ' αὐτῆς,
ἅπαν δὲ ἀφαιρούμενα τὰ ἐξ ἄλλων ὑπ' αὐτὴν κρύπτω-
μεν. τὸ μὲν οὖν τοῦ βραχίονος ὀστοῦν ἐνταῦθα ἕως ἀγ-
κῶνος, ἐκ τοῦ δὲ δὲ συμφύεται, καὶ συναρμόζεται — περὶ τοῦ ὀστοῦ τοῦ βραχίονος
τῷ πήχει: τῷ δὲ πήχει σύγκειται κερκὶς ἄνωθεν
ἕως κάτω πρὸς τὸν καρπόν. πῆχυς δὲ εἴρηται, — ὅρα περὶ κερκίδος καὶ πήχεως: — ὅθεν πῆχυς
ἀπὸ τοῦ πεπηγέναι τοῖς ἀκροῖς τοῦ βραχίονος. καὶ μάλ-

μείζων ὁ πῆχυς τῆς κερκίδος· ὑπόκειται δὲ ὁ πῆχυς αὐ-
τῇ, καὶ ὁ χεὶρ πρὸς ἐνέργειαν. ὥστε εἶναι τὴν μὲν κερκί-
δα πρὸς τὸ τοῦ ἀντίχειρος μέρος· τὸν δὲ πῆχυν, πρὸς

περὶ κερκίδος:

τὸ τοῦ μικροῦ δακτύλου: παραδέχεται δὲ τὸ κέρας, ὁ ζυγ-
χὰν κερκὶς ἁπλῆ: σιμοῦνται δὲ καθ᾽ ἑκάτερον τῶν πε-
ράτων ὁ πῆχυς τῇ κερκίδι σιμώδεσι μὲν ἰσχυροῖς· τὸ μέ-
σον δὲ, ἀπ᾽ ἀλλήλων διεστήκασι: κινοῦνται δὲ τούτων
τένοντες ὑπὸ μῦας, μετὰ μυῶν εἶναι λεγόμενοι τὴν χεῖ-
ρα τὴν κινητικὴν δύναμιν καὶ ἐνέργειαν ἐπιτελοῦντες,
ἐκ ψυχῆς δεχόμενοι τὴν ὁρμήν. ἄρχεται δὲ κατώτερον

ποῖα ἐστὶ ψυχικὰ καὶ κατὰ προαίρεσιν ἀποτελεῖται:

ὅσα διὰ νεύρων, καὶ μυῶν κινεῖται πάντα ψυχικά ἐστι,
καὶ κατὰ προαίρεσιν ἀποτελεῖται· πέρας δὲ τὴν τοῦ
βραχίονος καὶ τοῦ πήχεος ζεῦξιν κατὰ μὲν πέρας τῆς

ὅρα φλέβας καὶ ἀρτηρίας κατὰ μέρος ἀθεν τῆς χειρός:

χειρὸς πέρας διέρχονται φλέβες, καὶ ἀρτηρίαι πρὸς
τοὺς ἐσχάτους δακτύλους τῆς χειρὸς πολυσχιδῶς περαιού-
μεναι: ἡ ὠμιαία, ἣν καὶ κεφαλικὴν λέγομεν, ἡ μέ-
ση τε, καὶ ἡ ἔσω· τὴν ὠμιαίαν, καθόλου καλοῦμεν,
ὥσπερ τὴν ἔσω, σπληνικήν, πρὸς ἣν καὶ ἡ ἀρτηρία ἐγγί-
ζει. τὴν οὖν καθόλου φλεβοτομεῖν ὑπόκειται· ὥσπερ τῇ

παρατήρησις φλεβοτομίας:

σπληνικῇ ἀρτηρία, καὶ χρὴ εἰδέναι, καὶ παρατη-
ρεῖσθαι πάντως ἐν τῷ φλεβοτομεῖν: χρὴ δὲ γινώσκειν ὅτι

τῆς μὲν ἀριστερᾶς χειρὸς ἡ ἔσω φλὲψ ἀπὸ τοῦ ἐγκεφάλου
ἐπὶ τοῦ σπληνὸς ἀφήρμωσται: τῆς δὲ δεξιᾶς δέ, ἀπὸ τοῦ
ἥπατος: ἡ δὲ μέση καὶ μεγίστη, ἐξ ἀμφοτέρων τοῦ
σώματος. σχίζονται δὲ αὗται αἱ φλέβες ἔνδον τοῦ πήχεος,
καὶ ἐν τοῖς κατὰ καρπὸν χωρίοις εἰς πολλὰς μικρὰς ἐπι-
μιγνυμένας ἀλλήλαις. οὕτως καὶ ἐκτός, εἰς ταὐτὸν γὰρ
ἔρχονται ἑνούμεναι πρὸς ἀλλήλας τε καὶ ταῖς ἔνδον καὶ
σχιζόμεναι ἐκτείνονται ὑπὸ πᾶν τὸ δέρμα τὸ κατὰ τὸν καρ-
πόν, καὶ μετακάρπιον καὶ τοὺς δακτύλους. τὸ αὐτὸ σχῆμα
καὶ ἐπὶ τῶν ποδῶν ἄκροις, πολυσχιδῶν, καὶ πολυαγγῶν
τὰς ἀπὸ τῶν νεφρῶν ἐπικαταφερομένας φλέβας καὶ πε-
ραιουμένας. Ἐν ᾧ δ' οὖν τελευτᾷ ἡ κερκίς, καὶ ὁ πῆχυς,
καρπὸς καλεῖται τὸ μέρος: ὀστώδη δὲ τὸν καρπὸν ὀστᾶ
τὸν ἀριθμὸν ὀκτώ, ἐπὶ δύο στίχοις συγκείμενα, σκληρά,
καὶ μικρά, καὶ ἀμύελα, καὶ πολυγωνιώδη κατὰ τὸ σχῆμα,
τὰ μὲν γὰρ αὐτῶν κυρτά, τὰ δὲ σιμά. καὶ τὰ μὲν εὐθέα,
τὰ δὲ περιφερῆ: ὀστᾶ δὲ ταῦτα δὲ πάντα δεσμοῖς νεύρων χον-
δρώδεσι, συνηρθρωμένα πρὸς ἄλληλα. ἡ μὲν οὖν ἄ-
νωθεν μοῖρα τοῦ καρποῦ διαρθροῦται πρός τε πήχει τε,
καὶ κερκίδι, ἡ δὲ κάτω, τοῖς τέτρασιν ὀστέοις
συνηρθρῶνται τῷ μετακαρπίῳ: τέσσαρα γὰρ καὶ αὐτά

πόσος ἀριθμὸς καρπός, ἤτοι ὀστῶν ὀκτώ

ὀστᾶ τοῦ μετακαρπίου

τῶν δακτύλων:·

ασὶ τοῦ μετακαρπίου· πέντε καὶ δέκα δὲ τὰ τῶν δακτύ-
λων εἰσί. τετραφάλαγγοι γὰρ εἰσὶν οἱ δάκτυλοι, ἤτοι τρι-
κόνδυλοι, ἤτοι τρισκύταλοι, λέγονται γὰρ κατ᾽ ἀμφότερα:

ποῖον μετακάρπιον, καὶ ποῖον καρπός:·

ἔστιν οὖν τὸ μετακάρπιον τὸ ὄπισθεν τῆς παλάμης·
ὁ δὲ καρπὸς τὸ ὑποκάτωθεν τούτου: ἐν τούτῳ οὖν

σφυγμικὴ κίνησις:·

ἔμπροσθεν ἀρτηρίαι τεταγμέναι, τὴν σφυγμικὴν
ἐνδιδάσκουσιν κίνησιν: ἔστι δὲ τῆς πάσης χει-

ἡ πᾶσα σκυταλιξις τῶν ὀστῶν τῆς χειρός:·

ρὸς ἡ σκυταλιξις τῶν ὀστῶν οὕτως· ὁ βραχίων, ὁ πῆχυς·
ἡ κερκίς· ὀκτὼ τοῦ καρποῦ· τέσσαρα τοῦ μετακαρπίου·
καὶ δεκαπέντε τῶν δακτύλων· οἱ κόνδυλοι, τρεῖς καθ᾽ ἑ-

ποῖα παλάμη, ἢ θέναρ, ἢ διατί παλάμη λέγεται:·

κάτερον· ὡς εἶναι πάντα λ': τὸ δὲ ἔμπροσθεν τοῦ με-
τακαρπίου παλάμη καλεῖται, καὶ θέναρ: καὶ παλά-
μη μέν, ὅτι δι᾽ αὐτῆς τὰ πολλὰ παλαμώμεθα, καὶ τε-
χνώμεθα, ἤγουν ἐργαζώμεθα· αἱ τέχναι γὰρ παλάμαι,

ὅμηρος:·

παρὰ τὸ πάλλειν τὰς χεῖρας ἐν ταύταις· ὅμηρος· πάλλεν

διατί θέναρ λέγεται:·

δ᾽ ἐγρήνιος ἱππότα νέστωρ: θέναρ δέ, διὰ τὸ θέσεως
εἶναι χωρίον, ἃς ἣν ἀντιθένται τὰ διδόμενα· ἢ παρὰ τὸ

περὶ δακτύλων, ἢ πῶς ὀνομάζονται:·

δι᾽ αὐτῆς θείναν, ὅ ἐστι τύπτειν. δι᾽ αὐτῆς γὰρ καὶ τὸ τε-
λεῖται: οἱ δὲ δάκτυλοι, δεχάκτυλοι τινὲς εἰσί, παρὰ
τὸ δέχεσθαι: ἢ δείκτυλοι, δεικνύοντες τῶν δηλουμένων·
ἢ διάκτυλοι, ἀπὸ τοῦ δι᾽ αὐτῶν γίνεσθαι τὰς διάξεις: τῶν

δακτύλων, ὁ μὲν μέγας, ἀντίχειρ λέγεται· ὁ δὲ ὑ-
π' αὐτόν, λιχανός· ὁ δὲ μετ' αὐτόν, μέσος· ὁ δὲ μετ' ἐκεῖ-
νον, παράμεσος· καὶ ὁ ἔσχατος μικρός: καὶ ἀντίχειρ *διατί λέγεται ἀντί-χειρ:*
μέν, ὅτι ἀντίκειται ἄλλοις· ἢ ὅτι τὸ ἴσον δύναται τῇ
ὅλῃ χειρὶ τοῖς λοιποῖς, ἀργοὶ γάρ εἰσιν οἱ ἄλλοι χωρὶς αὐτοῦ·
ὁ δὲ λιχανός, ὅτι δι' αὐτοῦ τὰ ἐκλείγματα λαμβάνο-
μεν· Εἰσὶ δὲ τρεῖς κόνδυλοι πάντες καθὼς καὶ τὸ ἔμπρ *περὶ τῶν κονδύ-λων τῶν δακτύ-λων:*
ὁ λόγος ἐδίδαξεν: Καὶ ὁ μὲν πρῶτος πρόκονδυλος λέ-
γεται· ὁ δὲ δεύτερος, μέσος· ὁ δὲ τρίτος μετὰ τοῦ
ὄνυχος, μετακόνδυλιον: παρὰ τὸ ἐπὶ τὴν κάμψιν τῶν
δακτύλων ἐκλήθησαν κόνδυλοι· περὶ αὐτοὺς γὰρ ἡ κάμ-
ψις γίνεται· ἢ οἷον κάνδυλος τις ὤν, ὅ ἐστι τὰ κανά διό ἐξ
καὶ πῶν ἔα πιζομένων: ἡ δὲ κατὰ τῶν δακτύλων γινο-
μένη πληγή· ἢ κατὰ σιαγόνος, ἢ κατά τινος ἄλλου
τοῦ σώματος, κόλαφος λέγεται, ἀπὸ τοῦ κολάπτειν, *ποῖος κόλαφος:*
ὅ ἐστι πλῆξαι, ἐξ οὗ καὶ δῆλον δὲ
κόλαφος· καὶ τό, ἐκολάφισαν αὐτὸν οἱ ἰουδαῖοι: χρὴ
δὲ γινώσκειν ὅτι ὅταν συνάγονται οἱ ε' δάκτυλοι κα-
τὰ θέναρ, παλαιστὴ λέγεται, οἷον πλαστική τις οὖσα, *πόθεν λέγεται παλαιστή:*
ὅτι ἐκ τοῦ πλάσσειν γέγονε τοῖς δακτύλοις· ἢ δῶρον,
παρὰ τὸ δωρεῖσθαι κατ' αὐτήν· ἢ παρὰ τὸ μέτρον

ὅμηρος· αὐτῆς· τὸ τρίτον γὰρ τῆς σπιθαμῆς, ὡς καὶ ὅμηρος·
τοῦ κέρα ἐκ κεφαλῆς, ἑκκαιδεκάδωρα πεφύκει·
καὶ τό, ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου, ἀν-
τὶ τοῦ μετρητάς· κοιλαινομένη δὲ κατὰ βάθος ἡ πα-
κοτύλη· λαιστή, κοτύλη ὀνομάζεται, ὅθεν καὶ τὸ κοτυλήρυτον
αἷμα, διὰ τὸ τῷ κοίλῳ τῆς χειρὸς ἀρύεσθαι· διιστα-
μένων δὲ ἀλλήλων ἀπὸ τοῦ μικροῦ δακτύλου ἕως
σπιθαμή, πόθεν: τοῦ ἀντίχειρος, σπιθαμὴ μέτρον ἀποτελεῖται· σπι-
θαμὴ δὲ παρὰ τὸ ἀπὸ σπασμοῦ ποιεῖν τῶν δακτύλων,
ἢ διὰ τὸ σπᾶσθαι τὴν ὅλην χεῖρα. ἡ δὲ σπιθαμή, ποι-
εῖ παλαιστὰς μὲν τρεῖς· δακτύλους δὲ ιβ΄· ἀπὸ δὲ
τοῦ μεγάλου δακτύλου ἕως τοῦ λιχανοῦ δακτύλων δέκα,
καὶ ἀπὸ τοῦ ἀγκῶνος πρὸς τὸ τοῦ μέσου δακτύλου, με-
πόθεν ἀγκών: τακονδύλιον πήχεως μέτρον· ἀγκὼν δὲ εἴρηται, ἀ-
πὸ τοῦ ἐγκάμπτεσθαι τῷ ἑτέρῳ ὀστέῳ· ἢ παρὰ τὸ ἀνέχειν,
πόθεν πῆχυς: ὅ ἐστιν ἐξέχειν: πῆχυς δέ, ἀπὸ τοῦ πεπῆχθαι,
ἢ παρὰ τὸ χᾶσθαι ἄκρῳ τῷ βραχίονι, ἐκταθέντων
ὀργυιά· δὲ τῶν δύο χειρῶν ἀπ' ἀλλήλων ἐς τὰ πλάγια, ὀργυιὰ
λέγεται, διὰ τὸ ἐκτείνειν τὰ γυῖα τουτέστι τὰ τῶν χειρῶν
ὅμηρος· μέλη· τίθεται γὰρ τὸ γυῖα ἐπὶ τῶν ποδῶν· ὡς ὅμηρος·
γυῖα δὲ θῆκεν ἐλαφρὰ πόδας, καὶ χεῖρας ὕπερθεν·

Ἔσχατα δὲ τὰ ὄργανα συμπλακέντα τοῦ στήθους πήχεος ἐστί·
Τηλικαῦται δὲ κατὰ μέγεθος εἰσὶν αἱ χεῖρες, κάτω ἐκταθεῖσαι οὐκ ἐφικνοῦνται τῶν γονάτων, ἀλλὰ ποδέουσιν· αἱ δὲ ἀποπλατήσεις τῶν χειρῶν, καὶ τῶν ἐν τοῖς δακτύλοις ἄκρων οἱ ὄνυχές εἰσιν, ὥσπερ ἐπὶ· χάριν γεγονότες· καὶ ὥστε λαμβάνεσθαι τι τοῖς δακτύλοις εὐκολώτερον· παρὰ δὲ τὸ νύσσειν, ὄνυξ εἴρηται, τὸ οἷον ἄνυξ, ὃ ἀνοίγων τὴν σάρκα ἐν τῷ φύεσθαι, ἢ ὑπερκύπτων διὰ αὐτῆς· παρέχουσι δὲ καὶ τοῖς ἔχουσι καὶ τὴν τοῦ κνήθεσθαι χρείαν, πρὸς τὸ διαφορεῖν τὴν τοῦ δέρματος δριμύτητα· καὶ τοῖς ἄκροις δὲ τῶν δακτύλων ὄπισθεν ἀντιβαίνοντες, στηρίζουσι τὴν ἁφὴν αὐτῶν· πολλοῖς δὲ τῶν ζώων καὶ ἀμυντήρια ἐδόθησαν, ὡς τοῖς γαμψώνυξιν· ὥσπερ ὄργανον ὄντα τοῦ θυμικοῦ, καὶ ἄλλοις τισὶ τῶν τετραπόδων· ἄλλοις δὲ ἀμυντήριον, καὶ στήριγμα τῆς βάσεως, ὡς τοῖς ἵπποις, καὶ πᾶσι τοῖς μονονύχοις ζώοις· αὔξεται δὲ ὁ ὄνυξ ἀεί, καὶ πίπτων ἐκφύεται· διὸ καὶ τινὲς ἱστοροῦσιν, ὅτι καὶ μετὰ θάνατον αὔξουσιν ἐν τοῖς σωζομένοις σώμασι τῶν ἀνθρώπων, τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν τριχῶν λέγεται:
Οὐκ ἰσόμετροι δὲ πάντες εἰσὶν οἱ δάκτυλοι, διὰ τὸ

ποῦ οἱ ὄνυχες, καὶ διατί:+

πόθεν ὄνυξ:

ἱστορία περὶ ὀνύχων, καὶ τριχῶν:+

ὅτι οὐκ ἰσόμετροι οἱ δάκτυλοι: καὶ διατί:—

τὴν ὑπερκύπτουσαν, καὶ τὴν τῆς χειρὸς ὑπερφυΐαν· εἰ
γὰρ ἦν ἐξ ἴσης αὐτοῖς κατὰ τὴν λεπτότησιν, οὐ μόνον ἀπρε-
πέστεροι ἂν ἦσαν, ἀλλὰ καὶ ἀνεπιτηδειότεροι πρὸς τὰς πράξεις,
καὶ ἀνίσχυροι, ἐξ ἴσης ἐμπίπτοντες ἐν τῇ ἐνεργείᾳ καὶ
ἀτυχοῦντες· ἐνδεῖ τῷ ἀποδιάν κατὰ μῆκος οἱ κόνδυ-
λοι ἀλλήλοις ἐπισπείρονται καὶ ἐνισχύουσιν ἑαυτούς, εὐ-
τονωτέραν τὴν ἁφήν, καὶ στερεωτέραν ποιοῦσιν,

περὶ δεξιᾶς ἢ ἀριστερᾶς χειρὸς καὶ ποδός:

καὶ τὴν ἐνέργειαν πᾶσαν ἰσχυροτέραν· λέγεται ἡ μὲν
δεξιὰ χείρ, ἡ δὲ ἀριστερά, ἡ εὐώνυμος, ἡ λαιά·
λαιὰ μέν, ἀπὸ τοῦ λελεῖφθαι ὅλως καὶ χωρίζεσθαι τῶν
πράξεων διὰ τὸ ἀδίδακτον· ἀριστερὰ δὲ καὶ εὐώνυ-
μος κατ' εὐφημισμόν· ἐπὶ τοῦ γὰρ ἀρίστου, γίνεται
ἀριστερά· καὶ ἐκ τοῦ καλώνυμος, εὐώνυμος· ἣ ἀρι-
στερὰν καλοῦμεν, τὴν οὐκ οὖσαν ἀρίστην, ἀλλὰ τῇ ἑτέρᾳ
ὑπηρετοῦσαν· τὴν τῇ ἑτέρᾳ μὴ πειθομένην, ἢ τῆς
ἑτέρας μὴ παρούσης· λέγεται δὲ καὶ σκαιὰ παρὰ τὸ
σκάζειν, περὶ τὰς πράξεις· ὡς ἀσθενεστέρα τῆς δε-
ξιᾶς· ὁ δὲ ἀσθενὴς σκάζει· ὅθεν καὶ σκαιὸς ὁ ἄνθρωπος
ὁ καμπὸς ὁ καὶ κατὰ γνώμην, καὶ οὐκ ὀρθός· δεξιὰ
δὲ λέγεται ἑτέρα, ἀπὸ τοῦ δέχεσθαι δι' αὐτῆς τὰ δι-
δόμενα ὡς ἐπὶ τὸ πλεῖστον· ἢ οἷον δεξιὰ ἀπὸ τοῦ δι' αὐτῆς

τὰς πλείονας πράττειν, καὶ δεξιὰ εἶναι πρὸς πράξεις·
Εἴρηνται δὲ πολλοὶ ἀμφοτεροδέξιοι κατὰ τὰς ἐνερ-
γείας, τὸ ἴσον μετὰ τῆς δεξιᾶς καὶ μετὰ τῆς ἀριστε-
ρᾶς ἐνεργοῦντες· τινὲς δὲ τῇ δεξιᾷ ἀπαρακλείστως,
μετὰ τῆς ἀριστερᾶς ταύτης τὰς τέχνας μετέρχονται.
ὅθεν δὲ δηλονότι οὐκ ἔστιν ἡ δεξιὰ κρείττων τῆς ἀρι-
στερᾶς κατά τι, (ὥς τινες τῶν ἀγροίκων λέγουσιν), ἀλ-
λὰ τῇ παιδείᾳ, καὶ ὥσπερ διὰ συνουσίαν τῶν ἐχόντων αὐτὰς ἐ-
ξ ὑπαρχῆς ἐδιδάχθησαν οὕτως: τῶν δὲ χειρῶν, τὰ ἔ- [πειᾶσ]
σωθεν, καὶ μᾶλλον τὰ τῶν δακτύλων ἄκρα ὥσπερ
γνώμονας τινὰς ἃς τὴν ἁφὴν ἔχομεν, διὰ τῶν ἀκριβά-
τεν. τὸ λεῖον, καὶ τραχύ, καὶ ὁμαλόν, καὶ ἀνώμα-
λον. ἀκριβεστάτην γὰρ ἔχει ταύτην τὴν αἴσθησιν ὁ
ἄνθρωπος τῶν ἄλλων ζῴων· οὐ γὰρ μόνον ἀντιληπτικὸν ὄρ-
γανον ὁ δημιουργὸς τὰς χεῖρας κατεσκεύασεν, ἀλλὰ [διὰ τί αἱ χεῖρες]
καὶ ἁπτικόν, διὰ τοῦτο καὶ δέρμα λεπτότερον ἔχου- [ἔσωθεν λεπτὸν]
σιν, καὶ μὴν ἐν αὐταῖς ὑποστρῶνται ἔσωθεν, καὶ τρι- [δέρμα ἔχουσι, ἢ μυῶνας· καὶ ἀμοι-]
χῶν ἀμοιροῦσιν, ἵνα μᾶλλον τῶν ἁπτῶν ἀντιλαμβάνον- [ροῦσι τριχῶν:]
ται· τῶν δὲ χειρῶν, αἱ μὲν σκληρότεραι πρὸς
ἀντίληψιν, εἰσὶν ἰσχυρότεραι, ὥσπερ τῶν γεωργῶν,
καὶ κωπηλατῶν· αἱ δὲ μαλακώτεραι πρὸς τὴν ἁφήν,

ἀνηρευθέντα, ὥσπερ αἱ τῶν γεγραφότων, ἢ τῶν ἑαυτῶν:

πείνας Καὶ γὰρ καὶ τῶν νεύρων, τὰ μὲν ὑπηρετεῖ πρὸς κίνησιν, τὰ-
δὲ μάλα καὶ πρὸς αἴσθησιν, καὶ ἔστιν ἁπαλώτερα,
ταῦτα δὲ καὶ τῆς ἁφῆς ἐστὶν ὄργανα. διὰ τούτων γὰρ ἡ-
τῆς ἁφῆς αἴσθησις γίνεται, θερμοῦ, καὶ ψυχροῦ. ὑ-
γροῦ, καὶ ξηροῦ καὶ τῶν τούτοις ἑπομένων. καὶ ταῦτα
μὲν τὰ ἐκ κατασκευῆς φυσικῶς, καὶ διὰ μαθήσεως
προσόντα τῇ χειρί, ἅπερ δὲ ἐπισχύσαι ὡς ἡ τι ἐξα-
γάπησις κέκληται περὶ τὸ ὅλον τὸ σῶμα, οὐδὲ τοῖς ἀγνωή-
τοις, ἢ γνοῆται, πταίσας γὰρ εἰς λίθον ὁ δάκτυ-
λος τοῦ ποδός, καὶ αὕτη ἡ χεὶρ εὐθὺς ἐρεθισθεῖσα ἐκεῖσε,
πλήττεται, καὶ περισφίγγει, καὶ περισύρεται τὸ ὀδυνώ-
μενον, καθάπερ ἀσπαζομένη, παραμυθεῖται τὴν ἐπελ-
θοῦσαν ὀδύνην. ἅπαν θάτερον ἐπάγγελος τὸν πόδα, καὶ σκό-
πει αὐτὴν περιτρέχουσαν ἔνθεν κἀκεῖθεν, ἔξω κοίσα-
σθαι ταύτην σπουδάζουσα: ψύλλη τὴν κεφαλὴν ἔ-
δηξεν, ἢ τὴν ῥάχιν, καὶ μετὰ σπουδῆς πρὸς ἄμυναν·
ἔδραμεν. Καὶ ἅπαξ ἁπλῶς πᾶσαν ὀδύνην τῶν τοῦ
σώματος ὅλων μορίων, φανερῶν, ἢ ἀφανῶν διὰ τῆς
ἁφῆς αὐτῆς καὶ περιπλοκῆς καταπραΰνει. πρὸς
αὐτά· τὰ προτερήματα, καὶ ἐνεργείας, καὶ τροφή

περὶ ὃ πρᾶγμα διατελοῦμεν, καὶ ἑτέρων, ἡ ταῖς συμπάσαις
οἰκονομοῦσα πρόνοια χαρίσασα ὡς καὶ δι' ἑκάστου ἐφο-
ρᾶν, ἢ κατὰ μέρος ἐπεξελθεῖν. Σκόπει καὶ μετὰ τὰς χά-
ρας, καὶ τῶν ποδῶν τὴν κατασκευήν, καὶ τῆς ἁρμονίας
τούτων, καὶ ἐνεργείας, πῶς μὲν τὸ ῥυθμικὸν ὄργανον τοῦ
παντὸς σώματος ἤδη μουσουργὸς φύσις αὐτοῖς ἐτεχνά-
σατο. καὶ πῶς τὴν κατὰ τόπον κίνησιν διὰ ῥυθμῶν ποιού-
μεθα, διὰ τῆς καθ' ὁρμὴν κινήσεως, ἔτι μετὰ ῥυθμι-
κῆς, ἐπειδὴ μετὰ ῥυθμικῆς κινήσεως τῶν ὅλων τοῦ σώμα-
τος μερῶν καθ' ὁρμὴν γινομένης, κατάρχοντος μὲν τοῦ
ἡγεμονικοῦ. ὑπηρετουμένου δὲ τοῦ αὐτοῖς νεύροις, καὶ μυ-
σὶ πᾶσι, συγκινουμένου τούτοις, καὶ περιφέροντος τὰ
μέλη: ἡ γὰρ κινητικὴ δύναμις αὕτη ἐν πᾶσι τοῖς νεύροις,
καὶ μυσὶν ἐνεργοῦσα, καὶ τὸ σῶμα ὀχοῦσα, ὅτι αὐ-
τὸ μὲν ὀχεῖ ὡς ψυχικὴ δύναμις. ὀχεῖται δὲ ὅλον τὸ σῶ-
μα διὰ τῆς τῶν ποδῶν μεταβάσεως: ἐδείχθη γὰρ ὅτι
ὅσα διὰ νεύρων, καὶ μυῶν κινεῖται, ψυχικά ἐστι, καὶ
κατὰ προαίρεσιν ἀποτελεῖται: ὁμοίως καὶ τὸ ὀργανι-
κὰ σκοπεῖται κατὰ μέγεθος, κατὰ σχῆμα, καὶ τὸν ἀριθ-
μόν, κατὰ θέσιν: εἰ γὰρ καὶ ἀντιληπτικὴν οὐκ ἔχει τὴν
χάριν ἐνέργειαν, καθὼς ὁ λόγος κατὰ τὴν ἀπόδειξιν.

χάρις α΄ προνοίας περὶ ποδῶν:

περὶ τοῦ ἡγεμονικοῦ πῶς, καὶ τοῦ ὑπηρετουμένου αὐτῷ διὰ τῆς κινητικῆς δυνάμεως

ἀλλ' οὐ κἂν γένοιτο αὐτῇ καλῶς, καὶ τοῦ τῶν δακτύλων
ἀριθμοῦ τελείων ὄντων, καὶ μήτε ἐλαττόνων, μήτε
πλεονάζοντος· ἀλλὰ μὴν καὶ τοῦ σχήματος ὡς ἦναι δὴ κ-
πλωμένου· καὶ τοῖς δακτύλοις μὴ ἐξισάζοντας· καὶ
αὐτῶν μεγέθει, μήτε μικρὰν ἄγαν εἶναι, μήτε μεγά-
λην· καὶ κατὰ πλάθεσιν δὲ μήτε ἔξω τῆς κατὰ φύσιν
αὐτῆς εὑρίσκεσθαι διαρθρώσεως· τοιγαροῦν καὶ ἐπὶ
τῶν ποδῶν ἡ πάντα σοφῶς, καὶ ἀντέχνως οἰκονομοῦσα
πρόνοια ἐξειργάσατο, καὶ ἡ καὶ ἐπὶ τῶν μορίων τὴν οἰ-
κείαν ἔδωκε θέσιν· εἰδυῖα γὰρ ὅτι τὸ ζῶον τοῦτο ὁ ἄνθρωπος
τῇ μεταβατικῇ κινήσει ἔμελλε χρῆσθαι τῇ ἀπὸ τόπου
ἐπὶ τόπον: τὰ μὲν τῶν ὀστῶν κοῖλα ἐποίησε· τὰ δὲ ×
ὡς ἐξοχὰς εἰργάσατο, ἐμβάλλουσαι αὐτὰς ἐς τὰς τῶν
ἄλλων κοιλότητας ἵνα πᾶν αὐτῶν ποιῆται τινὶ κατὰ
τὴν κίνησιν, ἵνα δὲ ἡ κίνησις ἀσφαλὴς γένηται· περιέ-
δησε αὐτὰ συνδέσμοις, καὶ τοῖς ἔξω γινομένοις ἀμ-
μῶσιν· ἄμμωνες δὲ λέγονται, ἐξοχαί τινες ἔξωθεν,
οἷον, τείχη κωλύοντα τὰς ἐξαρθρήσεις γίνεσθαι· τοῦτο
δὲ καὶ οἱ τεχνῖται ποιοῦσιν, ἐπὶ τῶν ἀεὶ κινεῖσθαι μελλόντων ×
θυρῶν, σφαίρας τινὰς μετὰ κοιλότητος κατασκευά-
ζουσιν τὴν ἀεὶ κίνησιν τῶν θυρῶν ἀκόλως ἐνεργᾶν προνο-

[margin, beside line 12:] πεῖ τῶν ὀστῶν ×:
[margin, beside line 17:] ἄμμωνες:

ούμενοι· τὰ γοῦν τῶν κοτυλῶν σφαιρόμαλα, λέγουσι
τὰς λεγομένας γλουτούς· τὰς κοτύλοις ἐνηρθρωμένας
τὴν τοῦ μηροῦ κίνησιν μηχανωμένην· Γλουτοὶ γοῦν λέ- ποῖοι λέγονται γλουτοί·
γονται τὰ τῶν κοτυλῶν σφαιρόμαλα· κοτύλαι δὲ ὅπου
ἐγκαθίζονται αἱ κεφαλαὶ τῶν μηρῶν· διὰ δὲ τὴν ἐγκάθεσιν κοιλό-
τητα, κοτύλη κέκληται· οἱ δὲ γλουτοὶ διὰ τρυφθερίαν, πόθεν κοτύλη
καὶ ὑγρότητα, οἷον, γλυοί λιπεῶς ὄντες· καὶ γὰρ οὗτοι με-
τάλλα ὅτητος ἀνεγροῖσι διὰ τὴν αὐθύτητα τοῦ στερεοῦ φε-
σθαι, καὶ κινεῖσθαι, καθάπερ οἱ στρόφιγγες· τοῦτο γὰρ
ἔργον τῆς διαρθρώσεως· εἴδη δὲ αὐτῆς τρία, τὸ μὲν, τρία εἴδη·
ἐνάρθρωσις, ὅταν ἡ κοιλότης ἡ ὑποδεχομένη βάθος
ἱκανὸν ἔχει· καὶ ἡ ἐμβαίνουσα κεφαλὴ προσηκόντως
ὑπάρχει, ὥσπερ ἡ κεφαλὴ τοῦ μηροῦ, καὶ ἡ κοτύλη·
ἀρθρωδία δὲ, ὅταν ἡ κοιλότης ἐπιπολαίως οὖσα ποῖαι ἀρθρωδίαι
ἥ τε κεφαλὴ ταπεινή, ὥσπερ ἡ τοῦ βραχίονος πρὸς
τὴν ὠμοπλάτην· τὸ δὲ τρίτον εἶδος τῆς διαρθρώ-
σεως γιγγλισμὸς λέγεται, γίνεται δὲ τῶν συμπεπλεγ- γιγγλισμός:+
μένων ἀλλήλοις ὀστῶν ἀντεμβαινόντων καθάπερ ἐπὶ
τῶν σπονδύλων ἔχει, καὶ τῆς τοῦ πήχεος πρὸς τὸν βρα-
χίονα διαρθρώσεως· τὰ μὲν σφαιρόμαλα ταῦτα,
ποτὲ μὲν καλεῖται κεφαλή, ποτὲ δέ, αὐχήν· ποτὲ δ᾽,

κορώνη· ποτὲ δὲ γλουτός· αἱ δὲ κοιλότητες, ποτὲ μὲν

περὶ κοτύλης καὶ γλήνης: κοτύλη· ποτὲ δέ, γλήνη: καὶ ἔστιν ἡ μὲν κοτύλη, βα-

περὶ τοῦ ὀστοῦ τοῦ μηροῦ + θεῖα· ἡ δὲ γλήνη ἐπιπολῆς: τὸ γοῦν τοῦ μηροῦ ὀστοῦν

ἐνέστιν μέγιστον ἁπάντων τῶν κατὰ τὸ ζῶον ὀστῶν· διαρθροῦ-

ται μέν, ἄνω, καὶ πρὸς ἰσχίον, καὶ βουβῶνα, κάτω δέ,

πρὸς τὴν κνήμην· καὶ ἔχει μὲν ἄνω ἐπίφυσιν κεφαλῆς

ἀκριβῶς περιφερῆ· κάτω δέ, εἰς δύο κονδύλους

τελευτᾷ· καὶ συνδεῖται πρὸς τὴν κνήμην· οὐ διὰ τῶν

ὑμενωδῶν μόνων συνδέσμων τῶν ἐν κύκλῳ πάσαις

διαρθρώσεσι περιειληφότων· ἀλλὰ καὶ δι' ἄλλων στρογ-

διὰ τί καλεῖται μηρός: γύλων, καὶ δυνατῶν: μηρὸς δὲ καλεῖται, ὅτι

μείζεται, κατ' ἐκεῖνα τὰ μέρη τὸ σῶμα· τὸ γὰρ ἀπὸ

ποῖον καλεῖται ὅλμος:+ τοῦ τραχήλου κύτος μέχρι τῶν αἰδοίων, ὅλμος κα-

λεῖται, διὰ τὴν εὐρυχωρίαν τοῦ τόπου· ἀπὸ κοιλίας

περὶ σχήματος καὶ ἀποφύσεως τοῦ μηροῦ: γὰρ τῶν χειρῶν ὅλμῳ ἔοικεν: ἐπεὶ δὲ ὅλος ὁ μηρὸς

τῷ σχήματι κυρτὸς μὲν ἐν τοῖς πρόσω, καὶ ἔξω· σι-

μὸς δὲ ἐν τοῖς ὄπισω, καὶ ἔνδον: ἀποφύσεις δὲ ἔ-

χει δύο, μικρὰς ὑπὸ καὶ τῷ τοῦ αὐχένος, ἃς τρο-

χαντῆρας καλοῦσιν οἱ πολλοί, καὶ μάζω ἡ ἔσω τῆς

ἔξωθεν ἐστίν· καὶ ἡ μὲν ἔσω διήρθρωται εἰς τὸν βου-

βῶνα· ἡ δὲ ἔξω ἐστὶν ἡ κοτύλη· τῶν δὲ τοῦ σκέλους

ὀστᾶ, τὸ μὲν ἕν, κνήμη λέγεται· τὸ δὲ ἄλλο, περόνη·

καὶ ἔστιν ἡ μὲν κνήμη ἡ ἔμπροσθεν καὶ μεγάλη ἔσω, καὶ ἔξω· ὄπισθεν δὲ ἡ περόνη ἡ ἀποδιάρουσα τῆς κνήμης, καὶ τῷ πάχει, καὶ τῷ μήκει· συναρθροῦνται δὲ τῇ κνήμῃ πρὸς ἀμφότερα τὰ πέρατα· τὰ δὲ ἐν τῷ μέσῳ ἀφεστήκασιν ἀλλήλων· Καὶ ἡ μὲν κνήμη συντέτακται τῷ μηρῷ, μεγάλην ἀπόφυσιν ἔχουσα, κατὰ τὸ ἄνω πέρας αὐτῆς, Καὶ ὑπὸ δὲ χιτῶσιν ἐμμερῶν, διὸ ποικιλότητες ἐν αὐτοῖς ἐπιφαίνονται· Τοῖς δὲ τοῖς κάτω μέρεσιν κνήμης τε, καὶ περόνης, ὁ ἀστράγαλος περιλαμβάνεται· λέγεται δὲ τὸ ὅλον τὸ ἀπὸ τοῦ γόνατος ἕως τοῦ ἀστραγάλου, κνήμη, ἀπὸ τοῦ ὑπερέχοντος ὀνομασθέν· ὅσον δὲ ἄσαρκον αὐτοῦ καὶ λεπτὸν ἐν τοῖς πρόσω τῆς κνήμης, ἀντικνήμιον ὀνομάζεται· τὸ δὲ ὄπισθεν μετὰ τῶν μεγάλων μυῶν, γαστροκνήμιον· [illegible], Καὶ παντελῶς ἄσαρκα, καὶ τῶν ἐπὶ ἄλλων [illegible] ὀστᾶ, ἀστραγάλους καλοῦσιν οἱ πολλοὶ οὐ καλῶς, ἀλλὰ τοῦ παντὸς ἁμαρτάνοντες· ὁ γὰρ ἀστράγαλος ὑπὸ τούτων ἑκατέρωθεν περιλαμβάνεται· σφυρὰ δέ ἐστι ταῦτα τῶν τῆς κνήμης τε, καὶ περόνης ἀποφύσεων:

κνήμη καὶ περόνη:

ἀστράγαλος:

κνήμη:-

Γαστροκνήμιον:

σφυρὰ ἀποφύσεις κνήμης τε καὶ περόνης

κυρταὶ μὲν ἔξωθεν ὥσπερ καὶ φαίνεται· κοῖλαι δέ,
πτέρναι: ἔνδοθεν· μετὰ ταῦτα ἡ πτέρνα ὄπισθεν· εἶτα ἡ πτέρ-
πούς: να καὶ ὅλος ὁ πούς· ὁ δὲ πρὸ τῶν δακτύλων τόπος,
ταρσοί: ταρσὸς λέγεται· τινὲς δὲ κτένα τοῦ ποδὸς καλοῦσιν, ἢ πε-
πέλμα: δίον· τὸ δὲ ὑποκάτω τοῦ ποδὸς πέλμα προσαγορεύεται·
δάκτυλοι: εἶτα οἱ δάκτυλοι ἐκ τριῶν κονδύλων συγκείμενοι·
πλὴν τοῦ μεγάλου· ἐκεῖνος γὰρ ἐκ δυοῖν σύγκειται ὀστοῖν·
ἐπὶ τοῦ μηροῦ ὀστέου, καὶ τῆς κνήμης, ἐπίκει-
ἐπιγονατὶς ἢ μύλη: ται ἐπιγονατὶς χαῦνον οὖσα ὀστοῦν, καὶ στρογγύλον·
διό τινες μύλην αὐτὴν ἐκ τοῦ σχήματος καλοῦσιν· ἔχει
γὰρ αὐτὴ κοιλότητα ἐν μέσῳ φθειρὰς τῆς ἐπικειμένης
μύλης τῇ ὑποκειμένῃ ἐν τῷ ἀλήθειν· ἀπὸ τῆς πρὸς τὴν
ἔξωθεν μηχανῆς, καὶ ἐμφερείας τοῦ μύλου, διὰ
τὸ κάτωθεν εἶναι τοῦ ἄρθρου τὸ κοῖλον, ὡς καὶ τῆς
μύλης τὸ ὑπόθεν, ἐν ᾧ πρὸς τὸ ἀλήθεσθαι τὰ ἀλεύ-
ματα βάλλονται· λέγεται δὲ ἐπιγονατίς, διὰ τὸ ἐ-
πὶ τοῦ γόνατος κεῖσθαι, ἤγουν, ἐπιγονῆς αὐτοῦ, ὡς
ὅμηρος: καὶ ὁ Ὅμηρος, οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει·
τὸ γόνυ: τὸ δὲ γόνυ, ἀπὸ τοῦ κονεῖν (καὶ ἐνεργεῖν αὐτὸ μάλιστα),
ἐξ οὗ καὶ κονεῖται, ἢ γόνατα· ἢ ὅτι κατὰ τὸ σκέλος
ἰγνύον, ἢ τὸ ὀπ.: καμπτόμενον, ὡς πρὸς γωνίαν ἀποτελεῖ· ἰγνύον δὲ ἐστί,

τὸ ὑποκάτω καλεῖται τοῦ γόνατος, διὸ καὶ ἰκνεῖν ἐστὶν ἡμῖν
τοῦ ἰκνεῖσθαι, ἤγουν ἀκολουθεῖσθαι· ἢ παρὰ τὸ ἦκα νεύειν
ταῖς καμψεσιν· ἢ διὰ τὸ γόνυσιν ἔχειν. τὸ δὲ σκέ-
λος, παρὰ τὴν σχέσιν εἴληφε, διέσχισται γὰρ ἀπ' ἀλλή-
λων· ἢ παρὰ τὴν κέλευθον, ὅ ἐστιν ὁδός, δι' ἧς βαδί-
ζομεν· ἢ παρὰ τὸ ἐσκληκέναι, καὶ σκληρότερα
εἶναι τῶν ὕπερθεν μορίων· τὰ γὰρ σκέλη πεποίηκεν
ἡ δημιουργὸς φύσις, ἵνα τὸ ὅλον ἀνέχωσι σῶμα, ὥσ-
περ κίονες, καὶ μεταφέρουσιν ἐκ τόπου εἰς τόπον,
[illegible] τοὺς πόδας ποιήσασα, ἐν οἷς ὁ ἄνθρωπος ἐπι-
στηριζόμενος τόπους ἀμείβει, καὶ πόλεις μετέρχεται,
καὶ ἔργα ἐπιμελεῖται, καὶ βάρη φορτίζεται, καὶ με-
ταφέρει, καὶ μετατίθεται· τούτους γοῦν τοὺς πόδας
δεῖ ἐπὶ τὰ ἔνδον ἠρέμα νεύειν, ὅπως ἀλλήλοις συνε-
πικουροῦντες μίαν ποιοῦσι τὴν ἐνέργειαν κοινὴν τὴν
ἀμείβοντες [?]· εἰ δέ γε ποτὲ παρὰ τὴν θέσιν γένηται τοῦ
θατέρου· ἄπορος ἡ τοῦ ζώου κίνησις γίνεται· καὶ οἱ χω-
λοὶ [?] τούτων ἡ κραιπνοτέρα [?] ἐνέργεια· διὰ καὶ τοῦτο καὶ τόνον τε [?]
κατὰ τὴν ἰγνύην, καὶ μύες, καὶ σύνδεσμοι, καὶ
νεῦρα περικυκλοῦσιν αὐτούς, τὴν κίνησιν αὐτῶν ἐξασ-
φαλιζόμενοι, καὶ περιφυλάττοντες· οὐ γὰρ μόνον

περὶ ἄρθρα αὐτῆς εἰς ἀσφάλειαν, ἀλλὰ καὶ πάντα-
χόθεν· τὰ γὰρ τῶν ὤμων, καὶ μασχαλῶν, καὶ τῶν ἰγνύων,

πόθεν λέγονται τένοντες, καὶ πόθεν:

καὶ σφυρῶν, καὶ πάντα τὰ ἀγκώνων, καὶ μετὰ μυῶν
κινούμενα νεῦρα τένοντες ὀνομάζονται· παρὰ τὸ τα-
νύειν τὰ νεῦρα πρὸς ἐνέργειαν. ὅτι καὶ τρεῖς εἰσὶ τῶν νεύρων

νεύρων διαφοραί:

διαφοραί· τὰ μὲν γὰρ ἐξ ἐγκεφάλου καὶ νωτιαίου πε-
φυκότα, νεῦρα κυρίως προσαγορεύεται· τὰ δὲ ἐκ
μυῶν, τένοντες· τὰ δὲ ἐξ ὀστῶν, σύνδεσμοι· ὁ δὲ τοῦ

τόπος ἀστραγάλου:

ἀστραγάλου τόπος, καὶ σφυρὰ λέγεται, καὶ οἷον σφαιρ-
ίς τις, παρὰ τὸ συνεσφίχθαι τὰ ἄρθρα τῇ συνθέσει
ὀστοῖς, καὶ τοῖς νεύροις πεπάχθαι· ἀστράγαλος δέ,

διατί λέγεται ἀστράγαλος:

διὰ τὸ ἀστραβῆ, καὶ ὀρθὴν φυλάττειν τὴν βάσιν τοῦ
ποδός· κυκλοῖ δὲ τὸν ἀστράγαλον, τὸ κυκλοειδὲς λε-

κυκλοειδὲς ὀστοῦν:
κότζιν:

γόμενον ὀστοῦν· ἐν ᾧ τὸ λεγόμενον κότζιν, διὰ συν-
δέσμων τῇ πτέρνῃ προσδεθὲν ἄνω, τὸ κυφοειδὲς
κάτωθεν ὑποκείμενον ἔχει, καὶ συνδέδεται με-
τ' αὐτοῦ, πρὸς ὃ ἡ βάσις τῶν σφυρῶν, καὶ τῆς πτέρ-
νης· αὕτη γὰρ ὑπόκειται ταῖς ὀφρυώδεσιν ἐξοχαῖς τῆς
κνήμης τε, καὶ περόνης, καὶ τὰ περιφερῆ τοῦ ἀ-
στραγάλου περιλαμβάνουσιν διότι ὡς ἐξοχὰς εἰς
ἐπὶ τῇ δεξιώσει κοιλότητας ἐναρμόζεται· τὸ δὲ καττύμα-

προσθεν μεθ' ἑαυτοῦ, ἡ ἀρχὴ δὲ τοῦ λεγομένου
ταρσοῦ· μετὰ τοῦτον δὲ ἄρχεται τὸ πεδίον, ἐκ πέντε συγ- περὶ ἀρχῆς τοῦ πεδίου ἐκ ε' ὀστῶν:
κείμενον ὀστῶν, ἀφ' ὧν οἱ κόνδυλοι τῶν δακτύλων τὴν
ἁρμονίαν λαμβάνοντες, ἐπὶ τοῖς ὄνυξι τελευτῶ-
σι· συνδοῦσι δὲ πάσας τούτων διαρθρώσεις ὑμενώδεις
τινὲς σύνδεσμοι: τοὺς δὲ κατὰ τὸν ἀστράγαλον,
καὶ τὴν πτέρναν, ἰσχυρότατοι πάνυ, καὶ στρογγύλοι,
καὶ ναρκοχονδρώδεις: Ἔστι δὲ καθόλου τοῦ ποδὸς
οὐ μόνον συνάρθρωσις καὶ διάρθρωσις, ἀλλὰ καὶ
συννεύρωσις, καὶ συγχόνδρωσις· πολὺ γὰρ αὐτῷ τὸ
ἀσφαλὲς ἔδει προσεῖναι διὰ τὸ βάρος ὃ ἐπιφέρονται, καὶ
διὰ τὴν ὀχὴν ὅλου τοῦ σώματος, καὶ τὴν ἀνάβασιν
μόν, καὶ τὴν οἷον ἐπικαμπὴν βαρύτητα, καὶ τὰς
λοιπὰς ἐνεργείας ἁπάσας: λέγεται δὲ πούς, πα- περὶ ποδός:
ρὰ τὸ πεπᾶσθαι ἀπὸ τοῦ ὅλου σώματος· ἢ τὸ ἔπανον,
καὶ λῆγον τοῦ σώματος: λέγεται καὶ ἴχνος, παρὰ- περὶ ἴχνους:
τὸ ἴσχειν, καὶ συνέχειν τὸν πόδα ὅλον, ἢ ἀπὸ τοῦ ἀνέχ-
εσθαι ἀπὸ τῆς γῆς: ὁ δὲ ταρσός, διὰ τὸ ξηρὸν τοῦ τόπου, ταρσός:
καὶ ἄσαρκον οὕτως ἐκλήθη· ὁ μῆρος, νῦν δὲ μεταγρά- ὅμηρος
ψας ταρσὸν ποδὸς κύχε αὐτῶς· πεδίον δέ, τὸ ἔμπρο- πεδίον:
σθεν, διὰ τὸ ὁμαλόν: τὸ δὲ ὕπο καὶ τῶθεν τοῦ ποδὸς δέρμα,

πέλμα: πέλμα καλεῖται, διὰ τὸ ἐπιπιλᾶσθαι, ἤγουν κατασφίγ-
πτέρναι: χθαι τοῦ ὅλου δέρματος πλέον: ¶ Αἱ δὲ πτέρναι, παρὰ
τὸ ἐπιπεπτωκέναι αὐτῇ ὅλον τὸ σῶμα: ¶ Αἱ δὲ τῶν ἀρθρῶν
ὀνομασίαι εἴρηνται, ἐκ τοῦ ἀρθρῶ ῥήματος τοῦ σημαί-
νοντος τὸ ἁρμόζω· ¶ ἢ διὰ τὸ ἀρηρέναι ἀλλήλοις, ὅ ἐστι
συναρμόζεσθαι, καὶ συνεσφίγχθαι, καὶ βοηθεῖν. ἢ
διὰ τὸ συναρτᾶσθαι· ¶ Καλύπτεται δὲ ἅπαν τὸ σῶμα
ὑπὸ τοῦ δέρματος, καὶ ἔστι τὰ μὲν αὐτοῦ τετριχωμένα·
περὶ τετριχωμένων: τὰ δὲ ἄτριχα: ¶ Τετριχωμένα μὲν, ἡ κεφαλή· καὶ
τὰ μέρη τῆς ἄνω, καὶ τῆς κάτω γένυος· καὶ τὰ τοῦ
χείλους· αὐτὰ γὰρ σκέπης, καὶ κόσμου ἕνεκεν ἔχα-
ριν: ¶ Αἱ δὲ τῶν ὀφρύων, καὶ αἱ τῶν βλεφαρίδων, ἀσ-
μασχαλῶν, καὶ ἥβης τριχῶν:+ φαλείας: ¶ Αἱ δὲ κατὰ τῶν μασχαλῶν, καὶ τῆς ἥβης,
κατὰ συμβεβηκός, ¶ Οὔτε γὰρ διὰ ἀσφάλειαν· ἐπεὶ
παθῇ ἄκυρος ὢν ὁ τόπος· ¶ Οὔτε διὰ σκέπην· ἐπειδὴ
σκέπονται ὑπὸ τῶν χειρῶν, καὶ τῶν πλευρῶν αἱ μασχά-
[μυνω] λαι· ¶ Ἀλλ᾽ οὔτε διὰ κόσμον· ¶ Κεκρυμμένον γὰρ κόσμον
ἡ φύσις οὐ ποιεῖ· ¶ Ὧν γὰρ τὸ κάλλος κρύπτεται, οὐ-
δὲ πόθου δέχονται γέννησιν: ¶ Λέγομεν δὲ τὰς τρί-
ποσεάυθι: χας κατὰ συμβεβηκὸς γίνεσθαι οὕτως, ¶ Ὥσπερ
γὰρ ὁ γεωργὸς κατὰ μὲν πρῶτον λόγον ἀρδεύει τὰ χρήσιμα

τῶν λαχάνων, ἢ τῶν φυτῶν κατὰ δεύτερον, ¶ κατὰ συμβεβηκὸς δὲ καὶ τὰς ἀκάνθας, καὶ τὰς ἄλλας τῶν βοτανῶν, ¶ εἰς φραγμοὺς ταύτας, ¶ ἢ εἰς ἄλλην χρείαν ἐπινοούμενος ¶ οὕτως καὶ ἡ θρεπτικὴ δύναμις ἀς τὰς ἀρχομένας αἰτίας τὰς τρίχας, καὶ τοὺς ὄνυχας ἐπινοουμένη, καὶ τρέφει, καὶ αὔξει, καὶ συνίστα· ¶ τῶν γὰρ ἀτμωδῶν τῶν καπνωδεστάτων τῶν ἀπὸ τοῦ σώματος ἀναπεμπομένων πῆξιν λαμβανόντων αὗται συνίστανται· ¶ τρίχες δὲ λέγονται, οἷον, θρίκες· θέλει γὰρ θρίξ, ὅτι θερίζεται, καὶ τέμνεται συνεχῶς· ¶ οὐδὲν γὰρ οὕτω τῶν ἐν ἡμῖν ἀποδαπανᾶται ὡς τάχιστα, ὥσπερ ἡ θρίξ· ¶ ἐν οἷς μὲν οὖν τόποις ἄτριχον ὑπάρχει τὸ δέρμα, μύες δηλονότι κατὰ τὸν τόπον ὑπάρχουσιν, ὥσπερ καὶ ἐπὶ τῆς παλάμης, καὶ τῶν δακτύλων, καὶ τοῦ πέλματος τῶν ποδῶν. ¶ ἐν οἷς δὲ μύες ἀπῳκήκασιν, τρίχες φύονται· πῆ μὲν πλείους, πῆ δὲ ὀλίγαι· ¶ σκέπασμα γὰρ τὸ ὅλον δέρμα γέγονε, καὶ περίβλημα τῆς ἁπαλῆς σαρκός· καὶ τῶν ἄλλων πάντων τῶν ἐντοσθίων· ¶ ἐπειδὴ τὸ δέρμα, τῇ φύσει τυλῶδες, ὑπό τε τοῦ περιέχοντος, καὶ τῶν προσομιλούντων σωμάτων τυλωθέν· ¶ ἡ δὲ ἁπαλὴ σάρξ,

πῶς συνίστανται αἱ τρίχες:+

πόθεν θρίξ:

ὁποίῳ τόπῳ εἰσὶν οἱ μύες:

ἔτι περὶ τοῦ δέρματος:

πῆ μὲν γὰρ ἁπλῆ, πῆ δὲ σύνθετος· καὶ πῆ μὲν αἰσθητικοῦ·
καὶ ἴνων· πῆ δὲ καθ᾽ αὑτήν· αὕτη γὰρ ὥσπερ καὶ τὸ δέρ-
μα καθόλου τοῦ σώματος ἥπλωται, ἵνα καὶ θέρους ἀνα-
ψύχῃ τὸ ζῶον, νοτίαν ἐκπέμπουσα ἔσωθεν· καὶ χει-
μῶνος δὲ, τὴν τῶν πηλίτων καὶ ἐρίων αὐτοῖς χρῆσιν πα-
ρέχει· σὰρξ δὲ εἴρηται, παρὰ τὸ ἀποσύρεσθαι τὸ δέρ-
μα ἀπ᾽ αὐτῆς· τὸ δέρμα, ὥσπερ τέρμα τοῦ σώματος

περὶ σαρκὸς

περὶ δέρματος

ὄν, ἔξωθεν ἐπιβέβληται παντὶ τῷ σώματι· ἢ ποῖον
δέμα, τὸ συνέχον τὸ σῶμα, καὶ συνδεσμοῦν· ἢ ποῖον
δέρμα παρὰ τὸ ἀποδέρεσθαι, ὡς ἐπὶ τῶν ζώων· ἢ
οἷον δέμας, διὰ τὸ καὶ τὸ σῶμα οὕτω καλεῖσθαι, ὅτι
δεσμός ἐστι τῆς ψυχῆς· ἢ περίδεμα, καὶ οἰκητή-
ριον αὐτῆς· χρείας δὲ μόνης τὸ δέρμα γεγένηται ἐν

διατί γέγονε δέρμα

τῷ σώματι, καὶ οὐκ ἐνεργείας· οὔτε γὰρ πρὸς πέψιν,
οὔτε πρὸς ἐξαιμάτωσιν, οὔτε περὶ ἀνάδοσιν τρο-
φῆς· οὔτε κίνησιν καθ᾽ ὁρμήν, οὔτε ὅλως ἐνέργειαν
τινὰ τῷ ζώῳ παρέχεται· ἀλλὰ πάντων ἔξωθεν κείμενον
τὸ τοῦ σώματος ὅλου περιττοῦ λόγον ἐνδέχεται, ὅθεν
οἷον κατατέτρηται δι᾽ ὅλου πρὸς ἀναπνοήν, καὶ ἱδρώ-
των ἀπόκρισιν· καὶ ἔστιν ἀσθενέστερον τῶν ἄλλων μορίων·
οὐκ ἔστιν γὰρ τὴν ἐρρωμένην ἀπολαύοντα τὰ μόρια κέκτηνται, ἀλ-

λα τὰ μικρότερα, καὶ ὅσον ἀρχαὶ τοῦ σώματος, ἔσω-
μαλακώτερα ἔξω περιέχοντα γεγονότα, καὶ ἰσχυρότερα,
ἵνα καὶ τὴν ἐκ πιμελοῦς διαίτης ἀποθῶνται κακίαν,
καὶ τὴν φυσικὴν δύναμιν περισώζωσι. Ἔχει δὲ ὁ ἄνθρωπος — περὶ πιμελῆς.
καθ' ὅλων τῶν μορίων, καὶ ἐν τῇ γαστρί, καὶ ἐν τοῖς ἐν-
τέροις, πιμελήν, ἀλλ' οὐ στέαρ. ὅτι διαφέρει πιμε- — διαφοραὶ πιμελῆς, καὶ
λή, στέατος, τῷ, τὴν μὲν πιμελὴν ψυχομένην, ἄπη- — στέατος.
κτον διαμένειν. τὸ δὲ στέαρ ἅμα πήγνυσθαι, ὥστε
καὶ θρύπτεσθαι. διὸ καὶ οἱ ζωμοὶ τῶν μὲν πιμελωδῶν
οὐ πήσσονται. τῶν δὲ στεατωδῶν πήσσονται ὡς βοός, αἰ-
γός, καὶ προβάτου. Συνίσταται δὲ ἡ πιμελή, ἐκ — περὶ συστάσεως πιμελῆς.
τῶν ἐν τῷ ἥπατι φερομένων ἐλαιωδῶν ἤγουν περιττ- — αἷμα τι
ερων γὰρ τροφῶν, αἳ ἐν τοῖς ψυχροτέροις τῶν μορίων κα-
θιζάνονται οὐ πήγνυνται. Πιμελὴ δὲ λέγεται, παρὰ — πόθεν πιμελή.
τὴν πῆξιν τῆς τροφῆς. ἢ πιμελή τις ἐστὶ παρὰ τὸ πῖον
τὸ λιπαρόν, ἡ ὑγραίνουσα τὰ μέλη. Ὁ δὲ σύνδε- — περὶ συνδέσμου.
σμος, περίβλημα τῶν ὀστῶν νευρῶδες, ἐξ αὐτῶν
τὴν γένεσιν ἔχων, ὅπερ συνδεῖ δὲ ταῖς διαρθρώσεσιν.
Ὁ δὲ ὑμήν, σῶμα ἐστὶ νευρῶδες, πλατύ. Ἡ δὲ σὰρξ ἐστὶν ἁπα- — περὶ ὑμένος.
λή, αἵματος πεπηγός. τὸ δὲ ἐστὶ θερμόν, καὶ ὑγρὸν κατὰ — σὰρξ ἁπαλή.
σύστασιν. κατὰ δὲ γεῦσιν γλυκύ. Παρὰ δὲ τὸ αἴθω

περὶ αἵματος: τὸ καὶ ὡς αἷμα ἐκλήθη· οὐδὲν γὰρ τῶν ἐν τῷ σώματι χυ-
μῶν θερμότερον τοῦ αἵματός ἐστιν· ἱλαρωτέραν δὲ τὴν
ψυχὴν τοῦτο ἐργάζεται ἐν οἷς πλεονάζει· ἡ δὲ ξανθὴ
χολή, γοργοτέραν, καὶ θρασυτέραν· ἡ δὲ μέλαινα,
σεμνοτέραν, καὶ εὐσταθεστέραν· τὸ δὲ φλέγμα, ἀρ-
περὶ φλέγματος: γοδεστέραν, καὶ σκληροτέραν· ἔστι δὲ τὸ φλέγμα
συμμέτρως παχὺ κατὰ τὴν σύστασιν· ἁλμυρὸν δὲ
ξανθὴ χολή: κατὰ τὴν γεῦσιν· ἡ δὲ ξανθὴ χολή, λεπτοτέρα κα-
μέλαινα: τὰ τὴν σύστασιν· κατὰ δὲ τὴν γεῦσιν πικρά· ἡ δὲ με-
λαινα, ὀξεῖα μὲν κατὰ τὴν γεῦσιν, παχεῖα δέ, καὶ γε-
περὶ χρώματος χυμῶν: ώδης κατὰ τὴν σύστασιν· καὶ ἔστι τὸ μὲν αἷμα ἐρυ-
θρὸν τῇ χροιᾷ· λευκὸν τὸ φλέγμα· ὠχρὰ δὲ ἡ ξαν-
θὴ χολή· μέλας δὲ ὁ μελαγχολικὸς χυμός· οὗτοι γὰρ
εἰσὶ συγγενεῖς τοῦ σώματος χυμοί· ἐξ ὧν, τὰ μὲν ἁ-
γένος μορίων: πλᾶ γίνονται μόρια· τὰ δὲ ὀργανικά, ἢ σύνθετα:
Καὶ ὑπάρχει τοῖς μὲν ὁμοιομερέσι, καὶ ἁπλοῖς, κα-
τ' οὐσίαν τὸ θερμόν, τὸ ψυχρόν, τὸ ξηρόν, καὶ ὑγρόν:
τοῖς δὲ συνθέτοις καὶ ὀργανικοῖς, τὸ κατὰ φύσιν τῆς ἀρ-
μονίας, καὶ τὸ συντεθεῖσθαι καλῶς, ὡς μὴ τὸν ὀφθαλ-
μὸν σπασιάζειν, μὴ τὸ σκάζειν τὸν πόδα: ἐξ ἀνάγκης
ἕπεται τοῖς ὁμοιομερέσιν ἡ τῶν κράσεων συμμετρία,

ἡ κατὰ δασύτητα, καὶ ψιλότητα· ἡ κατὰ παχύτη-
τα, καὶ ἰσχνότητα· καὶ ἡ κατὰ τὴν εὐχροίαν τε, καὶ
ἀχροίαν· καὶ προσέτι μαλακότητα, καὶ σκληρό-
τητα· τοῖς δ' ὀργανικοῖς, κατὰ τὴν οὐσίαν μέν, ἡ συμμε-
τρία, καὶ ἡ σύνθεσις, καὶ ὁ ἀριθμός, καὶ τὸ σχῆμα·
ἐξ ἀνάγκης δέ, τὸ καλῶς τὰς ἐνεργείας αὐτῶν ἕκαστον
τῶν ὀργανικῶν ἀποτελεῖν, οἷον, τὴν χεῖρα καλῶς ἀντι-
λαμβάνεσθαι, καὶ τὰ σκέλη καλῶς βαδίζειν· καὶ τὰ
ὦτα ἀκούειν· καὶ τοὺς ὀφθαλμοὺς καλῶς βλέπειν.
Τὴν ὑγείαν γὰρ λέγομεν τὴν οἰκείαν ἀρετὴν ἔχειν κατὰ
τὸ σῶμα τὸν ἄνθρωπον, ὅταν τὰς οἰκείας ἐνεργείας ἀμέμ-
πτως ἐπιτελῇ· (λέγω) τὰς κατὰ λογισμόν· τὰς κατὰ μνήμην·
τὰς κατὰ φαντασίαν· τὰς κατὰ αἴσθησιν· καὶ τὰς λοιπὰς
τοῦ σώματος ἐνεργείας· ἐπεὶ καὶ λογικὸς τότε λέγεται
ὁ ἄνθρωπος (ὃ καὶ φύσει ἐστὶ λογικός), ὅταν ἤδη ἱκανῶς ἐστὶν
ἑρμηνευτικὸς εἶναι τῶν συνήθων ὀνομάτων τε καὶ ῥημάτων,
τὴν λογικὴν ἕξιν περιποιούμενος, ἤγουν κατὰ τὴν πρώ- περὶ ἡλικιῶν
την ἑπταετίαν· τὰ γὰρ πρὸ ταύτης ἔτη ἀλογίας, καὶ
ἀσυνεσίας, καὶ ἀφροσύνης ἀνάμεστα· μετὰ δὲ
τὴν ἑτέραν ἑπταετίαν, ἄκρως τελειοῦσθαι· Τελειώ- τίς τελείωσις·
σις δέ ἐστι, δύναμις τῆς τοῦ ὁμοίου σπορᾶς· περὶ δὲ

τὸ δυνάμεθα τὸ ὅμοιον γενν:

τὴν τέσσαρεν, καὶ δεκάτην ἡλικίαν, τὸ ὅμοιον γεννᾶν
δυνάμεθα: πεῖτι πάλιν ἡ παλαιότης, πέρας ἐστὶν
αὐξήσεως· ἀρχὴ γὰρ φθίνουσα, καὶ αἱ ποσότητες, ἐπιδίδω-
σιν ὡς μέχρι θανάτου, καὶ καλεῖται παρὰ πολλοῖς ὁ
χρόνος οὗτος ἀκμή: ψυχῆς μὲν οὖν τὸ ἄλογον ἐπιλα-
μβάνεται: αἰσθήσεις· ε· ὅρασις· ὄσφρησις· ἀκοή· γεῦ-
σις· καὶ ἁφή· τὸ φωνητήριον ὄργανον, ἤγουν ἡ γλῶσσα·
καὶ τὸ τῆς γονῆς ἀποκριτικόν: τοῦ δὲ ἐν σώματι κινή-
σεως ἑπτά· ὀργανικαὶ μὲν ἕξ, ἡ ἄνω· ἡ κάτω· ἡ ἔσω·
ἡ ἔξω· ἡ δεξιά· ἡ ἀριστερά· καὶ ἡ κυκλική: ἢ οὕτως,
γένεσις, αὔξησις, μείωσις, φθορά, ἀλλοίωσις,
μεταβολή, καὶ στάσις: αἱ τῶν ποκρίσεις τοῦ σώματος
ε· πτύ· δάκρυα· μύξαι· σίαλα· ἄσθμα· διτ-
τὰ περιττώματα τῶν ὀχετῶν· καὶ ὁ διόλου τοῦ σώματος ἱδρώς:

γένος

ὥσπερ γὰρ πάντων τῶν ἐν τῷ κόσμῳ γενομένων· τὰ μὲν
δι' ἑαυτὰ γίγνεται· τὰ δὲ καὶ δι' ἑαυτά, καὶ δι' ἕτερα, κα-
θὼς ἐν τοῖς παραλαβοῦσιν ἐδιδάχθη: οὕτω καὶ ἐπὶ τῶν

γένεσις μορίων ζώων:

μορίων τοῦ ζώου ἁρμόσας· ἐν τοῖς ἄρχουσι, καὶ ἐν τοῖς
ἀρχομένοις. ταῦτα γὰρ περιηγουμένως καὶ κατὰ τὸν πρῶ-
τον λόγον κατασκευάσθαι· ἀναλογοῦσι κυρίως κατὰ φύ-
σιν: ἡ δὲ ξανθὴ χολή, καὶ δι' ἑαυτὴν γίγνεται, καὶ δι' ἄλλο,

καὶ γὰρ πρὸς πέψιν συμβάλλεται, καὶ ἀναθάλπει τὴν κά-
κερσίν, καὶ γίνεται τρόπον τινὰ τῶν θρεπτικῶν ἀντιμό-
ριον, ἀλλὰ καὶ θερμασίαν παρέχει τῷ σώματι, καθά-
περ ἐστὶ ζωτικὴ δύναμις. ¶ καθαίρει δὲ καὶ τὸ αἷμα,
ὅπερ δι᾽ ἄλλα πως γεγονέναι δοκεῖ. ¶ καὶ ὁ σπλὴν δὲ, καὶ
δι᾽ αὐτὸν γέγονε, καὶ δι᾽ ἄλλο. ¶ δι᾽ αὐτὸν μὲν, ὅτι μόριον
ὑπάρχει τῶν θρεπτικῶν, καὶ δοχεῖον τοῦ μέλανος χυμοῦ,
διὰ τὸ περιττεύεσθαι τοῦ περὶ τὰ τοῦ αἵματος, καὶ οἷον
διακαθαίρει αὐτό. ¶ δι᾽ ἄλλο πως καὶ αὐτὸ ὑφίστασθαι
δοκεῖ. ¶ καὶ οἱ νεφροὶ δὲ, τοῦ τὸ αἷμα καθαρσιονεῖ-
σιν, καὶ τῆς κατὰ συνουσίαν ὀρέξεως αἴτιοι. ¶ καὶ οἱ
ἀδένες, ὄχημα ἐστὶ τῶν ἀγγείων. ¶ καὶ ἡ σὰρξ σκέπασ-
μα. ¶ καὶ τὸ δέρμα ὁμοίως περίβλημα. ¶ καὶ τὰ ὀστᾶ
στήριγμα. ¶ καὶ οἱ ὄνυχες χάριν τοῦ κνήθεσθαι· καὶ εἰς
ἀντίληψιν. ¶ καὶ αἱ τρίχες, ὁμοίως εἰς σκέπην, καὶ
εἰς κόσμον. ¶ οἱ ὀφθαλμοὶ δὲ, διὰ τὴν ὅρασιν. ¶ τὰ ὦτα,
χάριν τοῦ ἀκούειν. ¶ αἱ ῥῖνες, διὰ τὴν ἀναπνοὴν, καὶ τὴν
ὄσφρησιν. ¶ ὁ θώραξ, διὰ τὴν τῆς καρδίας ὑπηρεσίαν.
¶ αἱ χεῖρες, διὰ τὰς ἐμμέσους χρείας. ¶ καὶ οἱ πόδες,
διὰ τὴν μετάβασιν. ¶ ἡ γλῶσσα διὰ τὴν λαλιάν. ¶ τὴν
γλῶσσαν δὲ, διὰ τὸ περιττεύειν αὐτῆς, καὶ ἀφύλακτον,

περὶ τοῦ σπλη-νός·

περὶ νεφρῶν, καὶ ἄλλων·

περὶ τῆς γλώσ-σης· +

καὶ ὥσπερ μὴ περιελεῖχαν τῆς διανοίας, διὰ τοῦτο αὐτὴν ἠσφαλίσατο· τὴν τῶν ὀδόντων πυκνότητα, ὡς περὶ φυλακήν, ἢ τάχιον αὐτῇ ἐπιστήσασα· καὶ τὰ χείλη θυρῶνται, καὶ ἐν περιοχῇ ταύτην φυλάττοντα, ἵνα μὴ ἁπλῶς, καὶ ὡς ἔτυχεν φθέγγηται· καὶ ἁπαξαπλῶς, οὐδὲν περιασκοπόν, ἢ ἀνενεργὸν παρὰ τοῦ θεοῦ τοῦ δεδημιούργηται· ταῦτα οὖν πάντα, καὶ τὰ λοιπὰ τοῦ σώματος μόρια· τότε ὑγιαίνειν αὐτὰ καὶ καλῶς ἔχειν λέγομεν, ὅταν εὐκρασίαν μὲν ἔχωσιν τοῖς ὁμοιομερέσιν, καὶ ἁπλοῖς· συμμετρίαν δὲ ἐν τοῖς συνθέτοις, καὶ ὀργανικοῖς· ἐκ γὰρ τῶν ὁμοιομερῶν συγκείμενα τὰ ὀργανικά, ὑπὸ τούτων καὶ ὑπηρετοῦνται, οἷον, ἡ καρδία, ἀρχὴ ἐστὶ τοῦ σώματος, καὶ ὀργανικόν· ὑπηρετοῦσιν αὐτῇ, ἀρτηρίαι, καὶ θώραξ· ἀρτηρίαι μὲν χορηγοῦσι τῷ παντὶ σώματι, αἷμα καὶ πνεῦμα τὸ ἐξ αὐτῆς· θώραξ δέ, διὰ τῆς συστολῆς, καὶ διαστολῆς ἐπεισάγων αὐτῇ ἀέρα καθαρόν· ὑπηρετεῖ δὲ καὶ ἐγκεφάλῳ τὰ νεῦρα, καὶ ὁ νωτιαῖος· ἥπατι δέ, αἱ φλέβες· τοῖς δὲ ὄρχεσιν, οἱ σπερματικοὶ πόροι· ταῦτα γὰρ ἀρχαὶ τοῦ σώματος· καὶ λέγονται, καὶ εἰσί, καθὼς ἐδείξαμεν ἀνωτέρω·

ὅτι ἡ καρδία ἀρχὴ τοῦ σώματος:

ἀρτηρίαι:

περὶ τοῦ σώματος ἀρχαί:

οἱ δὲ κατὰ πᾶν τὸ τοῦ σώματος. χόνδροι σώματά εἰσι περὶ χόνδρων:
τοῦ μὲν ὀστοῦ μαλακώτερα, τῆς δὲ σαρκὸς διαφερόντως
ξηρότερα. οἱ δὲ ἀδένες, σώματα σπογγώδη εἰσί, τοῦ περὶ ἀδένων:
μὲν χόνδρου μαλακώτερα, σκληρότερα δὲ τῆς σαρ-
κός· διάφοροι δὲ τούτων αἱ χρεῖαι. οἱ μὲν γὰρ αὐτῶν ἀπο-
θῆκαι ἐτάχθησαν εἶναι μεταξὺ τῶν ἀγγείων. οἱ δὲ ὑπεστρώ-
θησαν τοῖς ἀγγείοις, οἷον φλεψί, καὶ ἀρτηρίαις:
ἄλλοι δὲ καὶ χάριν ἐνεργασίας ἐγένοντο ὥσπερ οἱ ἐν
τοῖς τιτθοῖς, οἳ τὸ αἷμα εἰς γάλα μεταβάλλουσιν.
καὶ οἱ ἐν τοῖς ὄρχεσιν, οἳ ποιοῦσι τὸ σπέρμα. καὶ οἱ ἐν
τοῖς παρισθμίοις, οἳ τὸ σίαλον ἀναγκαίως ποιοῦσιν:
ἐπεὶ δὲ γὰρ ἐκ τῆς συνεχοῦς κινήσεως τὰ φωνητικὰ
ὄργανα ξηραινόμενα ἴσως τὴν φωνήν, καὶ τὴν ὁμιλί-
αν διακρατεῖ. τούτου χάριν οἱ σιαλῖται μῦες, σὺν ἀδέσιν σιαλῖται μυῶν:
ἄνω τοῦ σώματος κεῖνται, ἵνα καὶ ὑγραίνοντες ὅλον
τὸ σῶμα, καὶ τὴν ἀρτηρίαν, πρὸς ἐκφώνησιν, καὶ ὁ-
μιλίας διατείνοιεν καὶ παρέκτασιν λόγου: ἃ μὲν γὰρ τοῦ χ-
περὶ αὐτοῦ ταχὺ τοῦ τῆς φύσεως ἀπενοήθη, ἐξ ὁμιλίας
μικρᾶς, ἢ ἑρμηνευτῶν ὀλίγων, ἢ μελῳδίας οὐχὶ ἱκανῆς,
ἄφωνος ὁ ἄνθρωπος εὐθέως ἐγένετο. ἀλλὰ τούτων οὕτως
κειμένων, καὶ ἐφικανὸν ἐφθέγγετο, καὶ εἰς ὕψος

αἱ ἐμφωνήν. Καὶ ἐν ἡδύτητι φωνῆς διακρινεῖ, καὶ τοὺς
ἀκούοντας τέρπει· καὶ ἡδονὴν ἀνάφλεξιν· ἀηδὲς καὶ ἡδύ-
νουσι, καὶ τέρπουσιν, καὶ τέττιγες, καὶ ἀηδόνες, καὶ
ἕτερα τῶν ζώων τὸν ἄνθρωπον ἀλλὰ καὶ διαφερόντως ὁ ἄνθρωπος
(ὅμηρος:) τοῦτο ποιεῖ, ὃ καὶ ὅμηρος ἐπιστάμενος ἔλεγεν, καλέ-
σας τὸν θεῖον ἀηδόν, τῷ γάρ ῥα θεὸς περὶ δῶκεν ἀοιδὴν
τέρπειν, ὅπη θυμὸς ἐποτρύνῃσιν ἀείδειν· μόνος γὰρ
ὁ ἄνθρωπος ἡδύτητα φωνῆς διακρίνει, καὶ ἀποδέχεται· μό-
νος ὄργανα πρὸς ᾠδὴν κατασκευάζειν δύναται, καὶ
θελκτήρια μέλη ποιεῖν· μόνος ἄνθρωπος διὰ γραμμάτων,
καὶ πόρρωθεν τοῖς φίλοις ἀσπάζεται· μόνος ἄνθρωπος δια-
νοητικόν, καὶ βουλευτικόν ἐστι ζῶον· μόνος ὁ ἄνθρωπος ζῶον
γελαστικόν ἐστιν, ἢ καὶ τὴν μαϊμοῦ λέγουσι σχηματίζεσθαι
τοῦτο· μόνος ὁ ἄνθρωπος διὰ τῶν φωνητικῶν ὀργάνων τυποῖ
(περὶ λαλιᾶς δαιμόνων, καὶ ἀγγέλων:—) τὰ λεγόμενα, ἢ φωνούμενα, καὶ ἀρθροῖ· τῶν ἄλλων
ζώων ἀνάρθρως φωνούντων· εἰ δὲ καὶ τοῖς ἀγγέλοις,
καὶ δαίμονας ὁμιλεῖν λέγεται λογικῶς, ἀλλ' οὐ διὰ φω-
νητικῶν ὀργάνων· οὐδὲ διὰ ἀναπνοῆς, ὥσπερ ἡμᾶς:
μόνος ὁ ἄνθρωπος, μετὰ θάνατον ἀνίσταται, καὶ θνητὸς
ὢν ἀποθανατίζεται: μόνος ὁ ἄνθρωπος ζῶον ἐπὶ ἐνταῦ-
θα οἰκονομούμενον, καὶ ἀλλαχοῦ μεθιστάμενον:

μόνος ὁ ἄνθρωπος ἐν μέσῳ δύο ζωῶν γινώσκεται· καὶ τῆς μὲν
παρούσης φροντίζει, καὶ προνοεῖται πῶς ζήσεται·
τῆς δὲ μελλούσης, ἐπιμελεῖται μὴ ἀποτυχεῖν· καὶ
τὴν μὲν πρόσκαιρον οἶδε· τὴν δὲ αἰώνιον· καὶ τὴν μὲν
πολυπαθῆ, καὶ πολυώδυνον, καὶ πολύδακρυν· τὴν δὲ,
ἀπαθῆ, καὶ ἀνώδυνον, καὶ πολυχαρῆ· ὡς καὶ καλλίμαχος· καλλίμαχος
ἤδη πρηκεία γυναικῶν τὴν ὁδὸν, ἣν ἄνιαι θυμοφθο-
ρίου πρόσωσιν· ὅμοιον δὲ, ἔνθα ἀπέδρα πᾶσα
λύπη, καὶ ὀδύνη, καὶ στεναγμός· μόνος ὁ ἄνθρωπος
πλείων ἐνταῦθα παιδεύεται. καὶ μετανοῶν συγχωρεῖται
παρὰ τοῦ κτίσαντος· μόνος ὁ ἄνθρωπος παρὰ τοῦ δημιουρ-
γοῦ διαφερόντως τῶν ἄλλων ζώων προνοεῖται, καὶ
ἐπιμελείας ἀξιοῦται. καὶ ἵνα τοῦτο μὴ ἀγνοῶν, μα-
θῃς πλέον, καὶ τῆς προνοίας θαυμάσῃς τὸ μέγεθος.
σκόπει τὴν διαμονὴν τῶν ἀπάντων, καὶ μάλιστα τῶν
ἐν γενέσει, καὶ φθορᾷ, φυλαττομένην ἀδιάσειστον,
τὴν τάξιν τῶν ὄντων, καὶ τὴν θέσιν ὡσαύτως, τὴν τῶν
ἄστρων φορὰν μηδὲν μηδέποτε διαλλάττουσαν· τὸν
κύκλον τοῦ ἐνιαυτοῦ, καὶ τῶν ὡρῶν τὴν ἀπαράβατον στά-
σιν· τῶν νυκτῶν, καὶ ἡμερῶν τὴν ἰσότητα· παρὰ
μέρος ἑκατέρας αὐξανομένης, ἢ μειουμένης.

τὴν τῶν φυτῶν, καὶ σπερμάτων πληθύν· τὴν τῶν ζώων
διαφορὰν, καὶ κατασκευήν· τῆς κτίσεως ἁπάσης τὰ
ἔργα, καὶ τὴν ἀναλογίαν, καὶ τὴν ἁρμονίαν, καὶ τὴν
εὐθημίαν· καὶ ἵνα πάντα παραλάβω τὰ διὰ τὴν σὴν
πρόνοιαν, καὶ συντήρησιν γεγονότα· περὶ τῆς

περὶ τῆς μορφῆς ἡμῶν τε καὶ ἰδέας:

μορφῆς ἡμῶν, καὶ ἰδέας τὴν παραλλαγὴν διασα-
φήσω ὀλίγον, ἵνα θαυμάσας τὸ ἔργον, καὶ προσκυ-
νήσας τὴν περὶ σὲ τοῦ δημιουργοῦ πρόνοιαν· τίς γὰρ
ἰδὼν τὰς μορφὰς τῶν ἀνθρώπων ἐν τοσαύταις μυριάσι δια-
λαττούσας, καὶ μηδαμοῦ κατὰ πάντα συμπι-
πτούσας, οὐ θαυμάσει μὲν τὸ ἔργον, ἀλλὰ λογιζόμενος
τὴν αἰτίαν, ἀρρήτου προνοίας ἕνεκα διαφερού-
σης, τὴν διαφορὰν τῆς μορφῆς παρηλλαγμένην ἐν
τοῖς καθ᾽ ἕκαστον· σκόπει γὰρ, εἰ τὸν αὐτὸν ἅπαντες
εἴχομεν χαρακτῆρα ἀπαράλλακτον, πόση σύγχυ-
σις τῶν πραγμάτων ἐγένετο; πόση δὲ ἄγνοια, καὶ σκό-
τος κατεῖχε τὸν ἄνθρωπον; οὔτε τὸν ἀλλότριον, ἢ πολέ-
μιον, ἢ χρηστὸν, ἢ φαῦλον διακρίναι δυνάμενον· τοῦ
γὰρ ὄντος οὕτως, οὐδὲν ἐκώλυεν ἀδελφαῖς, καὶ μη-
τράσι συμμίγνυσθαι· τὴν δὲ τῶν κλεπτῶν τις κρα-
τηθεὶς, ἀπαίρει μικρὸν, καὶ συμβαίη ἂν τοῖς σου

νοῦσιν, ἆρα ἂν ἐγνωρίσθη; οὐδαμῶς. ἀλλ᾽ οὐδὲ πατέρες, καὶ παῖδες ἀλλήλους ἐγνώριζον. ἀλλ᾽ οὐδὲ ἄλλο τι συμβέβηκε κατὰ τὸν βίον ἐν ἀνθρώποις χρηστόν. τυφλὸς γὰρ ἦν ἕνεκα τῶν ἄλλων ὁ ἄνθρωπος, μικρὰ τὴν ὠφέλειαν παρ᾽ αὐτῶν περιεχομένου· πλὴν γὰρ ἡλικίας, καὶ μεγέθους, οὐδὲν ἄλλο διεγίνωσκεν ἡμῖν τοσούτων ἀγαθῶν αἴτιον γέγονεν ἡ πρόνοια, ποικίλλουσα τὴν μορφὴν διὰ παντός, καὶ μηδένα χρόνον ποιεῖν ταὐτὸ παραλείπουσα· καὶ οὐ μόνον ἐν μορφῇ, ἀλλὰ καὶ ἐν φωναῖς, καὶ ἐν τῇ τῶν χρωμάτων διαφορᾷ, καὶ ἐν ἡλικίαις· ἵνα πολυτρόπως βοηθῇ ταῖς τῆς ἀνθρωπείας φύσεως ἡ ἀσθένεια· καὶ γινώσκοντες ὡς λογικοὶ οἵας προνοίας ἀξιούμεθα, καὶ τιμῆς, μὴ καταισχύνωμεν τὴν φύσιν· μηδὲ τῶν περὶ θεοῦ δωρεῶν ἀποφανθῶμεν ἀνάξιοι. ταῦτά μοι περὶ τοῦ σώματος ἡμῶν, καὶ τῆς τούτου κατασκευῆς, καὶ διαπλάσεως, καὶ συνθέσεως, συμπέπλεκται καὶ συνήνωται καὶ συντέθειται, καὶ οἷον συνεφάνθη. καὶ συναρμολογήθη· οὐκ οἶδα μὲν ἐντέχνως, ἢ ἀτέχνως, εἰ συνετῶς, ἢ ἀποδεκτῶς τοῖς πολλοῖς. τίς γὰρ ἱκανὸς λαλῆσαι τὰς δυναστείας τοῦ κυρίου, ἢ ἀκουστὰς ποιῆσαι·

πάσας τὰς αἰνέσεις αὐτοῦ, ἢ τῶν ὁδῶν αὐτοῦ τὸ ἀ-
νεξιχνίαστον, καὶ ἅμα τὸ λυπηρὸν καὶ τὸ χαλεπόν· πλὴν
γνω: ἀλλὰ καὶ θεοῦ φίλον τὸ κατὰ δύναμιν. καὶ σὺ δ' ἂν καὶ
τὰ σὰ αὐτὸ ἀναλεγόμενος, πολλοὺς ἀριθμήσας σκοπούς·
ἔχοντας ἔτι τῶν εἰρημένων βαθύτερον, καὶ ὅτι ἀρ-
σωαις φέρεσθαι ἀφ' ἧς τὴν παροῦσαν ὑπόθεσιν, καὶ τὰ μὲν
τοῦ τε ὀπίσω μαλιχῶς οἷον. πῶς τὸ ἔμπροσθεν μονιμώτατον
τοῦ ζώου πρόσωπον, ἁπλαχῆ καταπεπτάτηται· δυσὶν ὀφ-
θαλμοῖς. καὶ ὠσὶ δυσίν. ἴσοις μυκτῆρσιν. ἑβδόμῳ
στόματι: πῶς ὁ ἐγκέφαλος ὁ τὰς αἰσθήσεις δεχόμενος
ψυχρός ἐστι καὶ ὑγρὸς ὑπὲρ πάντα τοῦ ζώου: καὶ πῶς
τὰ πρῶτα τὰ νοήματα, καὶ οὐκ ὀλισθαίνει διὰ ὑγρότη-
τα: πῶς τὰ μὲν τῶν μορίων θερμά ἐστι· τὰ δὲ ψυ-
χρά. τὰ δὲ κατ' ἀμφότερον: πῶς τὰ μὲν ἀσθε-
νῆ, τὰ δὲ ἰσχυρά: πῶς τὰ μὲν ἁπλᾶ, τὰ δὲ σύνθε-
τα: πῶς τὰ μὲν συμφύτως ἔχει δύναμιν, τὰ δὲ
ἐπίρρυτον. πῶς ἕκαστον πάντων αὐτῶν, τινὰς
δυνάμεις ἔχει ἐν ἑαυτῷ ζωτικάς: πῶς τὰ μὲν τῶν
αἰτίων, τὰ μὲν πέμπει, τὰ δὲ δέχεται, τὰ δὲ κα-
τέχει, τὰ δὲ ἀποκρίνει. πῶς τε ὑφαίνεται σῶμα
διακρατοῦσι: καὶ πῶς ἐπιλαμβάνουσι τῶν διαφθα-

ἐκται· πῶς ἡ καρδία διὰ τὴν ἔμφυτον χορηγοῦ-
σα θερμασίαν τῷ σώματι, τῆς ἐνεργείας οὐχ ἵσταται,
ἔχουσα κατὰ φύσιν· πῶς χυλοῦται τὰ σιτία, καὶ
καθαίρεται τὸ αἷμα, καὶ διατρέφεται τὸ σῶμα, καὶ
τὰ σκύβαλα διακρίνεται, καὶ τὸ οὖρον σὺν αὐτῷ ἐκβάλ-
λεται· πῶς συνδέδεται τὰ μέλη, καὶ συνήρθρωται
τὰ μέρη, καὶ διήρθρωται τὰ ἄρθρα, καὶ συντέθειται
τὰ ὀστᾶ· πῶς τῶν ὀστῶν, τὰ μὲν σκληρά, τὰ δὲ
μαλακά, τὰ δὲ κοῖλα, τὰ δὲ ἄκοιλα, τὰ δὲ μετὰ μυ-
ελῶν, τὰ δὲ ἀμύελα· πῶς τῶν νεύρων, τὰ μὲν
κατὰ συζυγίαν, τὰ δὲ καὶ μοναδικά, δι' ὅλου τοῦ
σώματος ἐγκατέσπαρται ὁμοίως φλέβες, καὶ ἀρ-
τηρίαι· πῶς τῶν μορίων, ἢ τῶν στοιχείων τοῦ σώμα-
τος, τὰ μὲν δι' ἑαυτῶν γίνονται, τὰ δὲ δι' ἄλλων·
καὶ πῶς οὐχ ἡλικίαι πᾶσαι αἱ αὐταί, οὐδὲ προσώπων
χαρακτῆρες, οὐδὲ ὁμοιότης φωνῶν· οὐδὲ χρω-
μάτων ἐμφέρεια, καὶ ἵνα πλείονι δόξῃ τὴν ἐπα-
νάληψιν πλέξομεν τοῦ θεολόγου ἐκ λόγων συνε-
ξυφάνωμεν ῥήματα· θαύμασον λέγοντες, ἄνε,
πῶς ἐπλάσθης, καὶ πῶς συνετέθης· καὶ τίς ἡ πε-
ρὶ σὲ σοφία· καὶ τί τῆς φύσεως τὸ μυστήριον·

πῶς μὴ τεταγμένω τόπω, καὶ νοῦς οὐ χωρεῖται, ἀλλ' ἐν -
ταυτῷ μένων πάντα ἐπέρχεται· πῶς ὄψις ὀλί-
γη, καὶ ἐπὶ πλεῖστον φθάνουσα, καὶ πότε ἐξ ἑτέρου πα-
ραδοχῆ ἀντὶ τοῦ ὀφθέντος τὴν περὶ ἐκεῖνο διάκρι-
σις: πῶς τὰ αὐτὰ κινεῖ, καὶ κινεῖται, διὰ βουλή-
σεως κυβερνώμενον, τίς δὲ πᾶσα κινήσεως:
καὶ πῶς ὁ νοῦς διὰ τῶν αἰσθήσεων τούτων ὁμιλεῖ
τοῖς ἔξω, καὶ τὰ ἔξωθεν παραδέχεται: πῶς ἀνα-
λαμβάνει τὰ εἴδη. καὶ τίς ἡ τήρησις τοῦ ἀνα-
ληφθέντος, ἡ μνήμη. καὶ τίς ἡ τοῦ ἀπελθόντος
ἀνάληψις, ἡ ἀνάμνησις. πῶς ἡ αἴσθησις ἐν αὐ-
τῷ μένει, καὶ τὸ ἐκτὸς ἐπισπᾶται. πῶς ὁ λόγος
νοῦ γέννημα. καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ: καὶ πῶς
λόγων νόημα διαδέδοται. πῶς τρέφεται διὰ ψυ-
χῆς τὸ σῶμα: καὶ πῶς ψυχὴ διὰ σώματος κοινωνεῖ
πάθους: πῶς πήγνυσι φόβος, καὶ λύει θάρσος,
καὶ συστέλλει λύπη· καὶ διαχεῖ ἡδονή· καὶ τή-
κει φθόνος. καὶ μετεωρίζει τῦφος, καὶ κουφί-
ζει ἐλπίς: πῶς ἐκμαίνει θυμός, καὶ αἰδὼς
ἐρυθραίνει διὰ αἵματος· ὁ μὲν ζέσαντος, ἡ δὲ
ἀναχωρήσαντος: καὶ πῶς οἱ χαρακτῆρες τῶν

παθῶν ἐν τοῖς σώμασι· ¶ τίς ἡ τοῦ λογισμοῦ περιε-
δρία· ¶ καὶ πῶς πᾶσι τούτοις ἐπισπαστά, καὶ ἡ με-
ρίζαι τῶν παθῶν κινήματα· ¶ πῶς αἱ μαλακίαι κρα-
τᾶται, καὶ πνοὴ τὸ ἀσώματον· ¶ καὶ πῶς ἡ τούτων
ἐπίληψις, ψυχῆς ἐστὶν ἀναχώρησις· ¶ πῶς ὄνοισ,
καὶ περιγραπτός, καὶ ἀόριστος ἐν ἡμῖν μενῶν,
καὶ πάντα ἐπιφοδιῶντα ταχαφοράς, καὶ ἔρωτος·
¶ τίς ἡ τῆς φύσεως ὁλκή, καὶ ἀλλήλας σχέσεις, τοῖς γεν-
νῶσι, καὶ γεννωμένοις, ἵνα τῷ φίλτρω περισσὸ :συνέχη
χηται· ¶ πολλὰ μὲν ἐπιφιλοσοφήσας περὶ μέτρων,
¶ καὶ μελῶν, ¶ καὶ τῆς εἰς ἄλληλα τούτων ἁρμονίας,
¶ περὶ χρᾶαν τε ὁμοῦ, ¶ καὶ κάλλος, ¶ συνεσπώτων τε,
¶ καὶ διεσπώτων, ¶ περιεχόντων τε, ¶ καὶ περιεχομένων,
¶ ἐπινοουμένων τε, ¶ καὶ σχιζομένων, ¶ περιεχόντων τε,
¶ καὶ περιεχομένων, νόμω, καὶ λόγω φύσεως.
¶ πολλὰ περὶ φωνῶν, καὶ ἀκοῶν· ¶ πῶς αἱ μὲν φέ-
ρονται διὰ τῶν φωνητικῶν ὀργάνων· ¶ αἱ δὲ ὑποδέ-
χονται διὰ τῆς ἐμμέσου τοῦ ἀέρος πληγῆς, καὶ τυ-
πώσεως· ¶ πολλὰ περὶ τῆς ἐν ὕπνοις ἀνατυπώ-
σεως, ἢ ἀναπλάσεως λογισμοῦ τε, καὶ θυμοῦ,
καὶ ἐφέσεως, ¶ καὶ συντόμως ἅπαν ὅσα περὶ τὸ-

ζῶον τοῦτο τὸ λογικόν, ἡ τοῦ πάντα σοφῶς, καὶ ἐντέ-
χνως οἰκονομοῦσα τοῦ θεοῦ περὶ δύναμις, καὶ σο-
φία καλῶς τε τεχνάσατο, καὶ οὕτω καλῶς, ὥστ' οὐ-
κ ἐνδέχεται ἄλλως γενέσθαι, ἢ συστῆναι τουτὶ τὸ
ζῶον· τί γὰρ ἂν οἷον τοσοῦτον τῶν μετεωροσκοπούντων
ἐργάσαιτο; οὐ μόνον δὲ φιλοσοφήσας ταῦτα
ὡς εἴρηται, καὶ θαυμάσας· πῶς μέσον μεγέθη,
καὶ ταπεινότητος γέγονας, καὶ βασιλεὺς τῶν
ἐπὶ γῆς, βασιλευόμενος ἄνωθεν· καὶ τῇ πρὸς
θεὸν νεύσα τὸ μέτριον τῆς ἀληθείας φῶς ἐλλαμ-
πόμενος, τέως ὅλως θεοῦσαι, καὶ μετατίθε-
σαι πρὸς τὴν ἄνω ἀξίαν τοῦ καὶ δύσαντος, καὶ λύ-
σαντος, καὶ αὖθις συνδήσοντος, ὑψηλότερον
τὴν πολιτείαν ποιούμενος· ἀλλὰ καὶ μετὰ τοῦ προ-
φήτου ἐκπλήκτως ἀναφωνήσας: ὡς ἐμεγαλύν-
θη τὰ ἔργα σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας:



Ὅτι τῶν παρ' Ἕλλησι σοφῶν, οἱ μὲν προϋπάρχειν
τὴν ψυχὴν τοῦ σώματος δοξάζουσιν· οἱ δὲ τὸ σῶμα
τῆς ψυχῆς· ἑκάτεροι δὲ τῆς ἀληθείας διαμαρ-
τάνουσιν· ἡ γὰρ ψυχὴ σὺν τῇ πορείᾳ τῷ σώματι

ἐξυφαίνεται, ὡς ὁ τῆς θεολογίας ἐπώνυμος
Γρηγόριος ἔγραψεν, οὐ γὰρ εἶναί φησι δυνατὸν
ἵνα λογιζόμεθα, ἀλλοτρίαις οἰκοδομαῖς τὴν
ψυχὴν ἐναρμόζεσθαι· ὡς οὐκ ἔστι τὴν αὐτῷ κηρῷ
σφραγῖδα πρὸς ἀλλοτρίαν ἁρμοσθῆναι γλυ-
φήν, καὶ διὸ δεῖ κινεῖσθαι ἀεὶ διηλῶς αὐτῷ θεῖν τε,
καὶ ἀφ᾽ ὧν ἐστι τὰ ἀκροθίνια τῶν σοφῶν ἐπιμελοῦ·
ἀπεκδυσάμενοι. μὴ τὴν τῆς ψυχὴν πρὸ τοῦ σώματος
ἀλλ᾽ ἠθῆ εἶναι λέγειν κατὰ τὴν τῶν ἑλλήνων ἀρεσχε-
λίαν, ἀλλὰ μίαν ἀμφοτέρων ἀρχήν· καθάπερ
γὰρ τὸ σπέρμα ἐκ βραχύτητος πρὸς τὸ τέλος πρόα-
σιν, οὕτως καὶ ἡ τῆς ψυχῆς ἐνέργεια, καταλλή-
λως ἐμφυομένη, τῷ ὑποκειμένῳ συνεπιδί-
δωσι, καὶ συναύξεται σώματι :+ περὶ στοιχείων
Τὸ περὶ στοιχείων διαλέγεσθαι, φυσικῆς ἐστὶν ἴδιον
πραγματείας, χρὴ γινώσκειν τὰς μὲν δόξας τῶν πα-
λαιῶν φιλοσόφων τὰς περὶ αὐτῶν γενομένας κατα-
λιμπάνειν, μίαν δὲ τὴν κρατήσασαν τούτων ἐκλέ-
γεσθαι, ἣν Ἐμπεδοκλῆς πρῶτος ἐφεῦρε. πῶς
δέ φησι Γαληνός, Ἱπποκράτης ὁ κῷος. τέσσαρα
γίνωσκε τὰ τοῦ παντὸς στοιχεῖα τυγχάνουσιν, ἃ δὴ

καὶ κοσμικὰ καλοῦνται, πῦρ· ὕδωρ, ἀήρ,
καὶ γῆ: ἔστι δὲ τὸ μὲν πῦρ, θερμόν, καὶ ξηρόν:
τὸ δὲ ὕδωρ, ὑγρόν, καὶ ψυχρόν: ὁ δὲ ἀήρ, θερμὸς
καὶ ὑγρός: ἡ δὲ γῆ, ψυχρὰ καὶ ξηρά: ἀλλὰ μὴν
καὶ τὰ τέσσαρα στοιχεῖα τῶν ζώων ἁπάντων· καὶ
δὴ καὶ τῶν ἀνθρωπίνων σωμάτων τέσσαρα καὶ
αὐτὰ τυγχάνουσιν· οἱ τέσσαρες δηλονότι χυμοί·
αἷμα· φλέγμα· χολὴ ξανθή· καὶ χολὴ μέλαινα:
ἀναλογεῖ οὖν τὸ μὲν αἷμα, τῷ ἀέρι· θερμὸν ὂν καὶ
ὑγρόν, ὡς πρόδηλον [illegible]: τὸ δὲ φλέγμα τῷ ὕ-
δατι, ψυχρὸν ὂν καὶ ὑγρόν· ἡ δὲ ξανθὴ χολή, τῷ
πυρί, θερμὴ γάρ ἐστι, καὶ ξηρά: ἡ δὲ μέλαινα
χολή, τῇ γῇ, ψυχρὰ γάρ ἐστι, καὶ ξηρά: εἰσὶ μὲν
οὖν ἡ μὲν τὰ στοιχεῖα ταῦτα κατὰ μουσικὴν διδασκα-
: ἡ ἡμιόλιος λίαν, διπλάσιος, ἀμφόλιος, καὶ ἐπίτρι-
τος· πλείων τι προσδῶς λεπτόν, ὡς ἂν εὐκατάληπτα γί-
νοιντο τοῖς ἀγνοοῦσιν αὐτά· διπλάσιος μὲν οὖν ἐ-
στὶν ἀριθμός, ὁ ἔχων ἐν αὐτῷ τὸν συγκρινόμενον
ἀριθμὸν πλεονάκις· ἢ οὖν ἅπαξ, ὡς ὁ δ̅ πρὸς
τὸν β̅· δὶς γὰρ ἔχει ἐν αὐτῷ τὸν β̅ κέκτηται: ἡμιό-
λιος ἐστὶν ἀριθμός, ὁ ἔχων ὅλον ἐν ἑαυτῷ τὸν

συγκείμενον ἀριθμόν, καὶ τὸ ἥμισυ τούτου· ὡς ὁ
ἕξ, πρὸς τὸν δ, ἔχει γὰρ ἐν ἑαυτῷ ὅλον τὸν δ· καὶ τὸ
ἥμισυ τούτου: ἐπίτριτος δὲ λέγεται ἀριθμός, ὁ ἔχων
ἐν ἑαυτῷ τὸν συγκείμενον ἀριθμόν, καὶ τὸ τρίτον
τούτου, ὡς ὁ δ πρὸς τὸν τρία, ἔχει γὰρ ἐν ἑαυτῷ ὅλον
τὸν τρία, καὶ τὸ τρίτον τοῦ τρία, τὸ ἕν: τὸ μὲν οὖν αἷ-
μα φίλιον ὄν, καὶ ζωογόνον, καὶ οἰκεῖον τῇ φύσει τῇ ἡ-
μετέρᾳ· διπλάσιον λόγον ἔχει καθ' ὑπόθεσιν πρὸς
τὰ λοιπά: τὸ δὲ φλέγμα, ἡμιόλιον: ἡ δὲ ξανθὴ χο-
λή, ἐπίτριτος: ἡ δὲ μέλαινα χολὴ ἐλαχίστη παντε-
λῶς ἐστί· ἐχθρικὴ γὰρ οὖσα, φθαρτικὴ γάρ ἐστι τοῦ ζώου,
καὶ τὰ χείριστα τῶν νοσημάτων ἐν ταύτῃ φύονται, πλημ-
μυρούσης ἐν τῷ σώματι τῷ ἡμετέρῳ, ἐλεφαντιάσεις,
καὶ λέπραι, καὶ ψῶραι, καὶ ἀλφοί· καὶ σκίρροι· καὶ
καρκίνοι· καὶ ὄγκοι καρκινώδεις· οὕτως ὁμοίως νοητέον,
καὶ ἐπὶ τῶν τοῦ κόσμου στοιχείων· ὁ γὰρ ἀὴρ ὡς ἐστὶν
ἀνάλογος τῷ αἵματι, πλεῖον ἐστὶ τῶν ἄλλων, καὶ διπλά-
σιον λόγον ἔχει καθ' ὑπόθεσιν πρὸς τὰ λοιπά· ἐν
τούτῳ γὰρ πᾶσα δύναμις ψυχική, καὶ ζωτικὴ ὥς φησιν
ἀριστοτέλης: τὸ ὕδωρ ἀνάλογον τῷ φλέγματι, ἡμι-
όλιον ἔχει λόγον πρὸς τὰ λοιπά, ζωογόνον γάρ ἐστι πλὴν

ἀνύγρων ζώων. τὸ δὲ πῦρ οὐδεμίαν τάξιν ἔχει, ὡς
φησὶν ὁ Ἱπποκράτης, ἀλλὰ πανταχοῦ πάρεστιν, ὡς ὁ δη-
μιουργός. ἐν πᾶσι γάρ, ἢ πλείων, ἢ ἐλάσσων μοῖρα
τοῦ πυρὸς ἐγκατέσπαρται. ἡ δὲ ἐλαχίστη οὖσα,
κέντρον τῆς φύσεως τοῦ παντός. ἀλλὰ καὶ αἱ τῶν ἀνθρώπων
ἡλικίαι ἀναλόγως ἔχουσι τοῖς τε τοῦ κόσμου στοιχείοις,
καὶ τοῖς περιέχουσι τῶν ζώων, καὶ τῶν ἡμετέρων σωμάτων.
ἡ μὲν γὰρ τῶν παίδων ἡλικία, θερμὴ οὖσα, καὶ ὑ-
γρά, ἀναλογεῖ αἵματί τε, καὶ ἀέρι. ἡ δὲ τῶν ἀκ-
μαζόντων θερμὴ οὖσα, καὶ ξηρά, ἀναλογεῖ τῇ
ξανθῇ χολῇ, καὶ τῷ πυρί. ἡ δὲ παρακμαστικὴ ἡλικία,
ξηρὰ οὖσα, καὶ ψυχρά, ἀναλογεῖ τῇ μελαίνῃ χο-
λῇ, καὶ τῇ γῇ. τὸ δὲ γῆρας, ὑγρὸν ὄν, καὶ ψυχρόν,
ἀναλογεῖ φλέγματι, καὶ ὕδατι. ἀλλὰ καὶ αἱ τῶν ὡ-
ρῶν τοῦ ἐνιαυτοῦ, ἀναλόγως τούτοις ἔχουσιν. ἔαρ,
θέρος, μετόπωρον, καὶ χειμών. τὸ μὲν γὰρ ἔαρ,
θερμὸν ὄν, καὶ ὑγρόν, ἀναλογεῖ τῇ τῶν παίδων ἡλι-
κίᾳ, τῇ τε ξανθῇ χολῇ, καὶ τῷ πυρί. τὸ δὲ μετό-
πωρον, ψυχρὸν καὶ ξηρὸν ὄν, ἀναλόγως τῇ παρακ-
μαστικῇ ἡλικίᾳ, καὶ τῇ μελαίνῃ χολῇ, καὶ τῇ γῇ.
ὁ δὲ χειμών, ὑγρὸς ὤν, καὶ ψυχρός, ἀναλογεῖ τῇ

τῶν γερόντων ἡλικία, φλέγμα ἐστι, καὶ ὕδατι.
ἀλλὰ καὶ τοῖς νοσήμασιν εὑρεθήσεταί τις ἀναλογία
ἐξισάζουσά πως τοῖς προειρημένοις. οἱ μὲν οὖν
εἰσὶν οἱ χυμοί. αἷμα. φλέγμα. χολὴ ξανθή,
καὶ μέλαινα. ἅσι δὲ τὰ ὕστερα τὰ νοσήματα
τὰ ἐκ τούτων γινόμενα, μετὰ τέτρα πάντων δηλονότι τῶν
χυμῶν τοῦ κατὰ φύσιν. τριταῖος. τεταρταῖος.
ἐφημερινός. καὶ συνόχος ὁ ἐπὶ ζέσει: ὁ μὲν
οὖν τριταῖος, ἀπὸ ξανθῆς χολῆς σαπείσης γινόμενος,
θερμὸν ἐστὶ, καὶ ξηρὸν νόσημα, ἀναλογεῖ τῷ πυρί:
ὁ δὲ τεταρταῖος, ἀπὸ μελαίνης χολῆς σαπείσης
γινόμενος, ψυχρόν ἐστι, καὶ ξηρὸν νόσημα, καὶ ἀνα-
λογεῖ τῇ γῇ, ὁ δὲ ἐφημερινὸς, ἀπὸ φλέγματος
σαπέντος γινόμενος, ψυχρόν ἐστι, καὶ ὑγρὸν νό-
σημα, καὶ ἀναλογεῖ τῷ ὕδατι: καὶ ὁ συνόχος
δὲ ὁ ἐπὶ ζέσει, συνιστάμενος αἵματος, θερμός ἐστι,
καὶ ὑγρός, ἀναλογεῖ τῷ ἀέρι: δεῖ εἰδέναι ὅτι
τρία εἰσὶ τὰ γένη τῶν νεύρων: τὰ μὲν γὰρ ἐξ ἐγκε-
φάλου ἐκπεφύκασι, καὶ καλοῦνται κυρίως νεῦρα:
τὰ δὲ ἐξ ὀστῶν ἀποστᾶ, καὶ καλοῦνται συνδεσμοί.
τὰ δὲ ἐκ μυῶν, καὶ λέγονται τένοντες. οὗτοι δὲ ἄσιν

αἱ τῶν μυῶν ἀποναρκώσεις, ἢ πρὸς τὰ ἕρματα:
ω ἡ ἡδονὴ, καὶ λύπη, μητέρες εἰσὶ πάντων τῶν
παθῶν. διὰ μὲν γὰρ τὴν ἡδονὴν, πράττομεν τὰ φαῦ-
λα. διὰ δὲ τὴν λύπην, ἐκκλίνομεν τὰ ἀγαθά,
ὅτε γὰρ πορνεύει, καὶ ὁ γαστριμαργῶν δι' ἡδονὴν ταῦ-
τα ἐργάζεται. ὅτε μὴ θέλει ἐγκρατεύσασθαι.
μηδὲ νηστεῦσαι, διὰ λύπην τῶν τοιούτων ἀπέχεται.
ὅτε γὰρ νηστεύειν, καὶ τὸ πονεῖν, καὶ τὸ διὰ ζῆλον τὴν πρᾶ-
τλαν, καὶ τὸ ἀποκλεῖσθαι τοῖς πένησιν τὰ οἰκεῖα λύ-
πην ἔχει. ὀκτώ εἰσιν αἱ ἁπλαῖ συζυγίαι. θερμόν.
ψυχρόν. ξηρόν. ὑγρόν. βαρύ. κοῦφον. τραχύ.
λεῖον. πυκνόν. μανόν. μαλακόν. σκληρόν. παχύ.
λεπτόν. γλίσχρον. κραῦρον, ὅπερ ἐστὶ ξηρόν, ἀν-
τικείμενον τῷ γλίσχρῳ, ὡς ἄλευρον, ἢ χοῦς:
ἑπτὰ εἰσὶν αἱ γνωστικαὶ δυνάμεις τῆς ψυχῆς,
νοῦς. δόξα. φαντασία. διάνοια. καὶ αἱ αἰσθήσεις:
πέψις, καὶ ἡ ἀπεψία, ἐναντίαι ἀλλήλαις εἰσίν.
ἡ μὲν οὖν πέψις, διαιρεῖται εἰς τρία. εἰς ὄπτη-
σιν, εἰς ἕψησιν, εἰς πέπανσιν: καὶ ἡ μὲν ὄπτη-
σις, ἐστὶ πέψις ὑπὸ θερμοῦ, ξηροῦ, ὑγροῦ. ἡ δὲ
πέπανσις, πέψις τοῦ περικαρπίου ὑπὸ τοῦ περιέ-

χυτοῦ θερμοῦ :- ἰστέον δὲ ἀπεψία διαιρεῖται καὶ
αὕτη εἰς τρία, εἰς στάτευσιν, εἰς μόλυνσιν, καὶ
εἰς ὠμότητα· ὧν ἡ μὲν στάτευσις, ἐναντία ἐστὶ
τῇ ὀπτήσει, ἀπεψία τις οὖσα, διὰ τὸ μὴ περιγίνε-
σθαι τὸ θερμὸν ξηρὸν τῆς ἐν τῷ ὀπτωμένῳ ὑγρό-
τητος: ἰστέον δὲ μόλυνσις, ἐναντία ἐστὶ τῇ ἑψήσει,
ἀπεψία τις οὖσα καὶ αὕτη, διὰ τὸ μὴ περιγίνε-
σθαι τὸ θερμὸν ὑγρὸν τῆς ἐν τῷ ἑψομένῳ ὕλης:
ἰστέον δὲ ὠμότης, ἐναντία ἐστὶ τῇ πεπάνσει, ἀπε-
ψία τις οὖσα καὶ αὕτη τοῦ περικαρπίου ·+ τέλ:





